Ἔνεστι γάρ τις καὶ λόγοισιν ἡδονή,
λήθην ὅταν ποιῶσι τῶν ὄντων κακῶν.

Hæc est voluptas maxima ex sermonibus,
oblivionem induere præsentis mali.

V. Idem tit. cxvi. p. 477.

Καίπερ γέρων ὤν, ἀλλὰ τῷ γήρᾳ φιλεῖ
χὠ νοῦς ὁμαρτεῖν, καὶ τὸ βουλεύειν ἃ δεῖ.

Quamvis senex sim; nam senectutem solent
consilia recta mensque callidior sequi.

VI. Scholiastes Euripidis ad Phœnissas 238. Σοφοκλῆς δὲ ἐν Θυέστῃ ἱστορεῖ, καὶ παρ' Εὐβοεῦσιν ὁμοίαν ἄμπελον εἶναι τῇ ἐν Παρνασσῷ, λέγων οὕτως·

Ἔστι γάρ τις ἐναλία πόλις
γῆς Εὐβοίας, ἔνθα Βάκχειος βότρυς
ἐπ' ἦμαρ ἕρπει· πρῶτα μὲν λαμπρᾶς ἕω
κεκλημάτωται χλωρὸς οἰνάνθης δέμας·
εἶτ' ἦμαρ αὔξει μέσσον, ὄμφακος τρόπον,
καὶ κλίνεταί γε, κἀποπερκοῦται βότρυς·
δείλη δὲ πᾶσα τέμνεται βλαστουμένη
καλῶς ὀπώρα, κἀνακιρνᾶται ποτόν.

Prodigiosa illa vitis, cujus meminit etiam Scholiastes noster ad Antig. 1126. in Eubœæ urbe Nysa fuisse perhibetur. Stephanus in Νῦσαι—δεκάτη ἐν Εὐβοίᾳ, ἔνθα διὰ μιᾶς ἡμέρας τὴν ἄμπελόν φασιν ἀνθεῖν, καὶ τὸν βότρυν πεπαίνεσθαι.

VII. Vide Lexicon in Ἀκήρυκτον. Ἄλογα. Ἀλωπός. Ἀμόρφωτα. Ἀνταίρουσιν. Ἀπείρονας. Ἀπόθεα. Ἀποπλήκτῳ. Ἀτιλῆ. Αὐτόμοιρος. Αὐτόφορτοι. Ἀφοσιώμεναι. Ἐντέλλω. Ἐπαίνους. Ἡγόμην.

ΙΝΑΧΟΣ Σατυρικός.

De argumento vide Toupium Epist. crit. p. 51. et qui dudum ante eum perspexerat fabulam fuisse satyricam, Tib. Hemsterhusium ad Aristoph. Plutum, p. 248.

I. Stobæus Floril. tit. xlvi. p. 179.

Ἐπῄνεσ'· ἴσθι δ', ὥσπερ ἡ παροιμία,
ἐκ κάρτα βαιῶν γνωτὸς ἂν γένοιτ' ἀνήρ.

Laudo: sed et tu noveris verbum vetus:
vir clarus humili sæpe de sorte exiit.

Omissum in impresso Stobæo dramatis titulum addunt codices.

II. Dionysius Halic. Antiq. i. 25.

Ἴναχε γεννᾶτορ, παῖ κρηνῶν
πατρὸς Ὠκεανοῦ, μέγα πρεσβεύων
Ἄργους τε γύαις, Ἥρας τε πάγοις
καὶ Τυρσηνοῖσι Πελασγοῖς.

III. Athenæus l. xv. p. 668. emendatus a Toupio Epist. crit. p. 57. Σοφοκλῆς ἐν Ἰνάχῳ ἀφροδισίαν εἴρηκε τὴν λάταγα·

Ξένη δὲ κἀφροδισία
λάταξ ἅπασι νῦν ἐπισκήπτει δόμοις.

IV. Pollux ix. 50. Μέρη δὲ πόλεως, καὶ πανδοκεῖον, καὶ ξενὼν, καὶ, ὡς ἐν Ἰνάχῳ Σοφοκλῆς·

Πανδόκος ξενόστασις.

V. Scholiastes Æschyli ad Prom. 576. Σοφοκλῆς ἐν Ἰνάχῳ καὶ ᾄδοντα τὸν Ἄργον εἰσάγει.

VI. Schol. Comici ad Plutum 727. Τὸν Πλοῦτον, Πλούτωνα εἶπε παίζων· ἢ ὅτι καὶ Πλούτωνα αὐτὸν ὑποκοριστικῶς ἐκάλεσεν, ὡς Σοφοκλῆς Ἰνάχῳ· Πλούτωνος δ᾽ ἐπείσοδος. καὶ πάλιν·

Τοιόνδ᾽ ἐμὸν Πλούτων᾽ ἀμειμφίας χάριν.

Idem ad v. 807. Σιπύη δὲ, ἡ ἀρτοθήκη. ταῦτα δὲ ἐξ Ἰνάχου Σοφοκλέους, ὅτι, τοῦ Διὸς εἰσελθόντος, πάντα μεστὰ ἀγαθῶν ἐγένετο.

VII. Idem ad Equites 1147. Κημὸς—ἦν παρόμοιος χώνῃ, ὡς καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ.

VIII. Idem ad Aves 1203. Κυνῆ δὲ, ὅτι ἔχει περικεφαλαίαν τὸν πέτασον· ὡς Ἑρμῆς ἄγγελος ὢν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ ἐπὶ τῆς Ἴριδος·

Γυνὴ τίς ᾖδε; κυκλὰς Ἀρκάδος κυνῆς.

Vide Toupium Epist. Crit. p. 52.

IX. Idem ad Concionantes 80. Τοῦ Πανόπτου. τοῦ τὴν Ἰὼ φυλάττοντος. αἰνίττεται δὲ ὡς ὄντος αὐτοῦ δισμοφύλακος. ἀναφέρει δὲ τοῦτον ἐπὶ τὸν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ Ἄργον.

X. Vide Lexicon in Αἰλλόθριξ. Ἀναιδείας. Ἄναντα. Ἀλωπός. Ἀντίπλαστον. Ἀράχνη. Ἀρκὰς κυνῆ. Βοῦ. Ἐπίκρουμα. Κυάμῳ. Παλίνσκιον.

ΙΝΩ.

Ex hoc dramate desumptus videtur senarius, quo facete utitur helluo apud Athenæum l. viii. p. 344. Βίων δὲ, προαρπάσαντός τινος τὰ ἐπάνω τοῦ ἰχθύος, στρέψας καὶ αὐτὸς καὶ διαψιλώσας, φαγὼν ἐπεῖπεν·

Ἰνὼ δὲ τἀπὶ θάτερ᾽ ἐξειργάζετο.

In ea quæ præcedit de alio helluone narratiuncula citatur itidem Tragici nostri, absque auctoris et dramatis indicio, versus ex Antigona 714.

Vide Lexicon in Ἄλυτον.

ΙΞΙΩΝ.

Schol. Apollonii ad Argon. iv. 14. Παρὰ τὸ ἴψαι Σοφοκλῆς ἐν Ἰξίονι δέψιον φησὶ τὸ βεβλαμμένον. Καὶ Ὅμηρος· Πολυδίψιον Ἄργος ἱκοίμην· πολλάκις βεβλαμμένον.

ΙΟΒΑΤΗΣ.

Iobates rex Lyciæ pater fuit Stheneboeæ. Vide Apollodori Biblioth. ii. 3. et Hygini fab. lvii.

I. Stobæus Floril. tit. cxx. p. 489.

Τὸν Ἅιδαν γὰρ οὐδὲ
γῆρας οἶδε φιλεῖν.

Nam sacra regna Ditis
nec ipsa amat senectus.

II. Vide Lexicon in Ἀφύλλωτον.

ΙΟΛΑΟΣ.

Aristophanes Equitibus, 498.

Ἀλλ' ἴσθι χαίρων, καὶ πράξειας
κατὰ νοῦν τὸν ἐμόν.

ταῦτα δὲ, inquit Scholiastes, παρὰ τὰ Σοφοκλέους ἐξ Ἰολάου.

ΙΠΠΟΝΟΟΣ.

Dramatis hujus meminit Pollux iv. 111. ubi docet a gravi Tragœdiæ alienum esse, poëtas de rebus ad semetipsos pertin bus ad theatrum verba facere ex Chori persona, quæ materi comicarum Παραβάσεων: id tamen instituisse sæpius Euripid at Sophoclem, qui melior eo videri volebat, fecisse rarius, u Hipponoo. Fuit autem Hipponous rex Oleni, Peribœæ pa quæ ab Œneo vitiata Tydeum peperit. Vide Apollodori Bibli i. 8. 4. *Quæ plura ibi narrantur de parentis in filiam ira, a mentum facere potuere tragœdiæ Sophoclis.* Verba sunt He mei in egregio ad Apollodorum Commentario, p. 612.

I. Stobæi Ecl. p. 143. et Clemens Stromat. vi. p. 742.

Πρὸς ταῦτα κρύπτε μηδὲν, ὡς ὁ πάνθ' ὁρῶν
καὶ πάντ' ἀκούων, πάντ' ἀναπτύσσει χρόνος.

Studeas nihil celare. quæ videt omnia
et omnia audit, omnia evolvit dies.

Vide Agellii lib. xii. cap. xi.

II. Stephanus: Ὤλενος, πόλις Ἀχαΐας, καὶ Αἰτωλίας, θηλυκῶς γομένη. Σοφ. ἐν Ἱππόνῳ·

Ἐξ Ὠλένου γῆς φορβάδος κομίζομαι.

III. Vide Lexicon in Ἀπαλλάξασθαι. Ἀπαρθένευτος.

ΙΡΙΣ Σατυρική.

I. Athenæus l. xiv. p. 646. Ἴτριον, πεμμάτιον λεπτὸν διὰ σησα καὶ μέλιτος γενόμενον—Σοφ. Ἴριδι·

Ἐγὼ δὲ πεινῶσ' αὖ πρὸς ἴτρια βλέπω.

II. Vide Lexicon in Εὔωρος. Μίαν μίαν. Quibus in glossis m citatur Σοφ. Ἔριδι. Drama ab Iride denominatum fuisse videt

ΙΦΙΓΕΝΕΙΑ.

I. Stobæus Floril. tit. xxx. p. 135.

Τίκτει γὰρ οὐδὲν ἐσθλὸν εἰκαία σχολή·
θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται.

Nullus supinæ fructus est ignaviæ,
nec feriantes adjuvat fautor Deus.

II. Athenæus l. xii. p. 513.

Νόει πρὸς ἀνδρὶ σῶμα πουλύπου ὅπως
πέτρᾳ τραπέσθαι γνησίου φρονήματος.

Intricata et male structa verba corruptelam ostendunt. Grotius in fine prioris senarii legit ὅμως, quod nihil juvat, et sic vertit:

Similem esse polypo crede, qui, prout est lapis
ad quem applicatur, vertere ingenium solet.

III. Vide Lexicon in Ἀκρουχεῖ. Ἀπυνδάκωτος. Βασιλή. Πινθηρός. Ὕποφρον.

ΙΦΙΚΛΗΣ.

Iphicles Amphitryonis et Alcmenæ filius, eodem partu, quo Hercules, editus. Ad hoc nomen diversos fabularum titulos refero, quos in libris corruptos esse opinor. Nam quæ citatur a Scholiasta nostro ad Œd. Col. 791. ΙΦΙΚΛΕΙΑ, nulla fuit; nec quæ a Polluce laudatur ΙΟΚΛΗΣ. Sophocles his in locis citari debuit ἐν Ἰφικλεῖ vel forte ἐν Οἴκλεῖ. Fuit autem Oïcles pater Amphiarai, ad quem confugit nepos Alcmæon, a Furiis maternæ cædis ultricibus agitatus. Vide Apollodorum iii. 7. 5. Nihil in his conjecturis certi; nec magni momenti res est.

I. Pollux x. 39. Καὶ τύλη δὲ παρ' Εὐπόλιδί ἐστιν ἰάζοντι ἐν τοῖς Κόλαξι· καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ Ἰοκλεῖ λέγοντι·

Ἀλλὰ καὶ λινοῤῥαφῆ
τυλεῖα.

II. Etymol. M. Βουθοίη, πόλις τῆς Ἰλλυρίδος. Σοφ. Ὀνομακλεῖ·

Βουθοίη Δρίλωνος ἐπὶ προχοῇσιν ἐνάσθη.

Heathio in Hercule Satyrico versus hic hexameter a quovis alio quam a Sophocle profectus videtur. Nescio quare. Num quia hexameter est? At tales in aliis dramatibus erant. Vide in Thamyride.

ΙΧΝΕΥΤΑΙ Σάτυροι.

Vide Lexicon in Ἐνήλατα. Ὅρμενος. Ῥικνός.

ΙΩΝ.

Stobæus Floril. tit. ciii. p. 425.

Ἐν Διὸς κήποις ἀρεῦσθαι
μόνον εὐδαίμονας ὄλβους.

Nusquam sincera feruntur
bona, præterquam Jovis horto.

ΚΑΜΙΚΙΟΙ ἢ ΜΙΝΩΣ.

Sincerus hic est fabulæ titulus, quam alii ΚΑΜΙΚΟΣ, alii ΚΩΜΙΚΟΣ inscribunt. Oppidum Siciliæ est Camicus. Vide Stephanum in Κάμικος. A personis quibus constabat chorus denominata fabula, ut Μυκηναῖαι, Λαρισσαῖοι, Cratini Σερίφιοι, qui passim etiam gemello errore Σέριφοι appellati occurrunt. Vide Hemsterhusium ad Pollucem x. 156. Argumentum erat mors Minoïs a Cocali filiabus interempti. Videndi præter Diodorum Sicul. in Dædali historia, Scholiastes Pindari ad Nem. iv. 95. et Pausan. p. 531.

I. Athenæus p. 86. Τῶν στραβήλων μνημονεύει καὶ Σοφ. ἐν Καμικίοις οὕτως·

> Ἀλίας στραβήλου τῆσδε τέκνον, εἴ τινα
> δυναίμεθ' εὑρεῖν.

II. Idem p. 388. Πέρδιξ· τοῦ ὀνόματος ἔνιοι συστέλλουσι τὴν μέσην συλλαβὴν, ὡς Ἀρχίλοχος· πολὺ δὲ ἐστι τὸ ἐκτεινόμενον παρὰ τοῖς Ἀττικοῖς Σοφ. Καμικίοις·

> Ὄρνιθος ἦλθ' ἐπώνυμος
> Πέρδικος ἐν κλεινοῖς Ἀθηναίων πάγοις.

III. Suidas in Πέρδικος ἱερόν—Σοφοκλῆς δὲ ἐν Καμικίοις, τὸν ὑπὸ Δαιδάλου ἀναιρεθέντα Πέρδικα εἶναι τοὔνομα. Sophoclem secutus est Ovidius, quem vide Metam. viii. 236.

IV. Clemens Alex. Strom. vi. p. 741.

> Οὐκ ἔστι τοῖς μὴ δρῶσι σύμμαχος τύχη.
> Fortuna non est socia nil conantibus.

V. Vide Lexicon in Κωχεύουσιν.

ΚΗΔΑΛΙΩΝ Σατυρικός.

I. Suidas: Λευκὴ στάθμη. ἐπὶ τῶν ἄδηλα ἀδήλοις σημειουμένων· ἢ ἐπὶ τῶν μηδὲν συνιέντων. Σοφοκλῆς Κηδαλίωνι·

> Τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι,
> οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴ στάθμη.
> Tuis notabor non magis sermonibus,
> amussis alba lapide ab albo quam solet.

II. Idem: Ὄνου σκιά. Καὶ, περὶ ὄνου σκιᾶς. Σοφ. Κηδαλίωνι·

> Ὅ τι ἂν γένηται, ταῦτα πάντ' ὄνου σκιά.

III. Athenæus p. 164. Κατὰ γὰρ τὸν Σοφοκλέους Κηδαλίωνα, εἰσὶ

> Μαστιγίαι, κέντρωνες, ἀλλοτριοφάγοι.

IV. Vide Lexicon in Αὐτοκτίστους. Δίαιτος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Fabulam hanc solus ex omni antiquitate laudat Erotianus in Lexico Hippocrateo, ubi hæc leguntur verba: Ἀντιόνθεον. τὸν βλάβης ὑπονοούμενον αἴτιον ἔσεσθαι ἀνθρώπων. Ἀντίον δ' ἐκάλουν οἱ παλαιοὶ τὸν σώφρονα. ὡς καὶ Σοφοκλῆς ἐν Κλυταιμνήστρᾳ λέγων· Τὸν δὲ ἄντιον περιδινέοντα οὐχ ὁρᾶτε, καὶ δεῖμα προσπνέοντα ἀντίας θεοῦ. Sunt ista sane quam corrupta, et nescio an emendandi conatum frustratura: huic itaque supersedeo. Sed quid suspicer, interim non celabo: nempe ad superstitem Electram ista pertinere, cujus quum finis sit Clytæmnestræ ultio et mors, hoc titulo potuit a veteribus citari. Prolata ab Erotiano verba, si quo in codice sincera reperirentur, lacunam forte explerent, quæ est in Electra v. 1432. Sophoclis Clytæmnestram laudatam fuisse ab Hesychio in Ἀράβος opinati sunt viri quidam docti.

ΚΟΛΧΙΔΕΣ.

Idem in titulo error qui supra in Αἰχμαλωτίσιν. Κόλχοι laudatur fabula, cujus index Κολχίδες. Sic auctor argumenti Promethei Æschylei: Κεῖται δὲ ἡ μυθοποιΐα ἐν παρεκβάσει παρὰ Σοφοκλεῖ ἐν Κόλχοις.

I. Stobæus Floril. tit. xxii. p. 115.

Καλὸν φρονεῖν τὸν θνητὸν ἀνθρώποις ἴσα.

Mortale supra sapere nil hominem decet.

II. Athenæus p. 602. Σοφοκλῆς ἐν Κολχίσι περὶ Γανυμήδους τινὰ λόγον ποιούμενος·

Μηροῖς ὑπαίθων τὴν Διὸς τυραννίδα.

III. Suidas: Ἀνθυπουργῆσαι χάριν, τὸ ἀνταποδοῦναι. Σοφ. Κολχίσιν·

Ἦ φὴς ὑπομνὺς ἀνθυπουργῆσαι χάριν;

Hic versus sine dubio Medeæ fuit operam Jasoni promittentis, sed sub ea conditione, ut ipse gratiam pro benefactis referret, sibique vicissim novæ nuptæ maritus vacaret. Hemsterhusius ad Aristoph. Plutum, p. 343.

IV. Schol. Apollonii Rhodii ad iii. 1371. Σοφοκλῆς ἐν Κολχίσι πεποίηκε τοῦ ἀγγέλου τὸν Αἰήτην πυθόμενον περὶ τῶν προειρημένων οὕτως·

Ἦ βλαστὸς οὐκ ἔβλαστεν οὑπιχώριος,
καὶ κάρτα φρίξας εὐλόφῳ σφηνώματι,
χαλκηλάτοις ὅπλοισι μητρὸς ἐξ ἕδου;

Confer præstantissimi Valckenarii notam ad Euripidis Phœnissas, p. 256. Pravam lectionem σφηνώματι inepte tuetur Heathius, quo sensu σφηκώματι repositum fuerit haud assequi se fassus. Scilicet lexica sibi facta non arbitrabatur. Henr. Stephani thesaurus eum edocuisset quid σφήκωμα sit. Hujus dramatis meminit rursus idem Scholiasta, cujus locum damus infra in Scythis.

V. Vide Lexicon in Ἐπαλλαχθεῖσα. Ἧσμεν. Κινάρα. Πέμφιξ.

ΚΡΕΟΥΣΑ.

Creüsæ memorantur plurimæ, e quibus quamnam in hoc dramate exhibuerit Sophocles, e superstitibus reliquis haud facile conjicere est. Probabile est argumentum ex Attica historia petitum fuisse, Creüsamque intelligo Erechthei filiam Xutho nuptam, cujus in Euripidis Ione præcipuæ sunt partes.

I. Stobæus Floril. tit. vii. p. 47.

Ὅστις δὲ τόλμῃ πρὸς τὸ δεινὸν ἔρχεται,
ὀρθὴ μὲν ἡ γλῶσσ' ἐστὶν, ἀσφαλὴς δ' ὁ νοῦς.

Qui plenus animi fertur in periculum,
Huic lingua constat, mensque non percellitur.

II. Idem tit. xii. p. 79.

Καλὸν μὲν οὖν οὐκ ἔστι τὸ ψευδῆ λέγειν·
ὅτῳ δ' ὄλεθρον δεινὸν ἡ 'λήθει' ἄγει,
ξυγγνωστὸν εἰπεῖν ἐστι καὶ τὸ μὴ καλόν.

Aliena vero proloqui nunquam decet:
at vera certam si cui pestem ferunt,
huic danda venia est, si facit quod non decet.

III. Idem tit. xxxviii. p. 151.

Οὔτε γὰρ, ὦ φίλε, γάμον, οὔτ' ὄλβον ἂν
ἔμμετρον ἔνδον γ' εὐξαίμ' ἂν ἔχειν.
φθονεραὶ γὰρ ὁδοί.

Non divitiis, non conjugio
mihi contingat superare modum;
quippe infestæ livore viæ.

IV. Idem tit. xci. p. 373.

Καὶ μή τι θαυμάσῃς με τοῦ κέρδους, ἄναξ,
οὕτω ἀντέχεσθαι. καὶ γὰρ οἳ μακρὸν βίον
θνητῶν ἔχουσι, τοῦ γε κερδαίνειν ὅμως
ἀπρὶξ ἔχονται· κᾆτι πρὸς τὰ χρήματα
θνητοῖσι τἆλλα δεύτερ'· εἰσὶ δ' οἵ τινες
αἰνοῦσιν ἄνοσον ἄνδρ'· ἐμοὶ δ' οὐδεὶς δοκεῖ
εἶναι, πένης ὢν, ἄνοσος, ἀλλ' ἀεὶ νοσεῖν.

Mirum haud putato, tanta quod lucri tenet
me, Rex, cupido. nam quibus vitæ retro
est longa series, tamen inexhausta siti
lucrum expetiscunt: cuncta mortales habent
opibus secunda. sanitas multis boni
est summa. pauper at nequit, me judice,
recte valere: sonticum hoc adeo est malum.

V. Idem tit. ciii. p. 427.

Κάλλιστόν ἐστι τοὔνδικον πεφυκέναι·
λῷστον δὲ τὸ ζῆν ἄνοσον· ἥδιστον δ' ὅτῳ
πάρεστι λῆψις ὧν ἐρᾷ καθ' ἡμέραν.

Justi tenace pulchrius vita nihil,
nil sanitate melius: at nil dulcius
ea quam potiri quæ sibi quisque expetit.

Reg. Stobæi cod. dat v. 2. λῷστον δὲ τὸ ζῆν, quomodo jam emendaverat Piersonus ad Mœridem, p. 300. Expressit Sophocles sententiam Theognidis in editione nostra v. 249.

Κάλλιστον τὸ δικαιότατον· λῷστον δ' ὑγιαίνειν·
ἥδιστον δὲ τυχεῖν, οὗ τις ἕκαστος ἐρᾷ.

VI. Vide Lexicon in Ἀκουστά. Ἀνέκτημαι. Ἰσαθάνατον.

ΚΡΙΣΙΣ Σατυρική.

Inauditus is est ad hanc usque diem et inexspectatus Sophoclei dramatis titulus, quem suadente elegantissimæ doctrinæ viro Thoma Tyrwhitt, auctoribus Herodiano et Dracone Stratonicensi, restituimus, in malam rem abire jussis et ΚΡΗΣΙΝ, et ΧΡΗΣΕΙ, et ΧΡΥΣΗ, quibus titulis nullas unquam Tragicus noster fabulas edidit. Jocosum autem hujus satyrici dramatis argumentum expositum habes in Luciani dialogo, cujus eadem est inscriptio, ΘΕΩΝ ΚΡΙΣΙΣ. Unde jam facile intelligere est, cur Veneris et Minervæ diversus ornatus in eo descriptus fuerit.

I. Athenæus p. 687. Σοφοκλῆς ὁ ποιητὴς ἐν Κρίσει τῷ δράματι, τὴν μὲν Ἀφροδίτην, ἡδονήν τινα οὖσαν δαίμονα, καὶ μύρῳ ἀλειφομένην παράγει καὶ κατοπτριζομένην· τὴν δ' Ἀθηνᾶν, φρόνησιν οὖσαν καὶ νοῦν, ἔτι δ' ἀρετὴν, ἐλαίῳ χρωμενην, καὶ γυμναζομένην. Inter μύρον et ἐλαῖον quid intersit docet Spanheim ad Callim. L. P. 15.

II. Schol. Comici ad Ranas 193. Ὅτι δὲ καὶ κρέας τὸ σῶμα, καὶ παρὰ Σοφοκλεῖ ἐν Κρίσει·

Τοιοῦτος ὢν ἄρξεις σὺ τοῦδε τοῦ κρέως.

Hæc, ut opinor, dicebat Venus Paridi, promittens ei Helenæ nuptias, quam modo pulcherrimam esse significaverat. Proinde

absque interrogatione lego. Grotius, cui de dramatis argumento nihil subolue,rat, vertit:

Tun' ergo talis imperes huic corpori?

III. Pollux vi. 83. Ἔστι μέν τοι καὶ τὸ τῆς μαγίδος ὄνομα παρὰ Σοφοκλεῖ ἐν Κρίσει·

Τᾶς Ἑκαταίας μαγίδος δόρπον.

De Hecates cœna vide Heinsterhusium ad Lucianum, p. 330.

IV. Ammonius de Diff. Voc. in Βωμός—Παρὰ δὲ Εὐριπίδῃ ἐσχάρα ἀντὶ τοῦ βωμοῦ κεῖται ἐν Πλεισθένει·

Μηλοσφαγεῖτε δαιμόνων ἐπ' ἐσχάραις.

καὶ Σοφοκλῆς ἐν Χρύσῃ. Lego Κρίσει.

V. Apollonii Lexicon Homericum in Ἰονθάδος—Τὰς γὰρ τῶν τριχῶν ῥίζας ἰόνθους λέγει Σοφοκλῆς ἐν Κρίσει· (male editum ἐν Χρύσῃ.)

Ἐγὼ μίαν μὲν ἐξιονθίζω τρίχα.

Inde corrigenda Hesychii glossa: Ἐξιονθίζω τρίχα. ἐκδίδωμι. ἔστι γὰρ ἴονθος, ῥίζα τριχῶν, ἢ ὑπερέχον.

VI. Vide Lexicon in Βυδοί. Φάρος, qui locus est classicus.

ΚΩΦΟΙ Σάτυροι.

Fabulæ titulus est Κωφοί. Nomen Σάτυροι pars inscriptionis non est, sed a Grammaticis additum, quo indicaretur drama esse satyricum. Vide Bentleii Ep. ad Millium, p. 15.

I. Scholiastes Nicandri ad Theriaca, p. 40. edit. Aldinæ: Ἄλλοι δὲ οὕτω τὸν μῦθον φασίν. Προμηθέα τὸ πῦρ κλέψαντα καὶ τοῖς ἀνθρώποις δωρησάμενον οἱ λαβόντες ἐμήνυσαν, οὐ καλὴν τῆς χάριτος τίνοντες ἀμοιβήν· ἐφ' οἷς τὸν Δία φασὶν ἐπαινέσαντα, φάρμακον αὐτοῖς ἀγηρασίας δοῦναι· τοὺς δὲ λαβόντας ἀποφέρειν τὸ δωρηθὲν ἐπὶ ὄνου· τὸν δὲ, δίψει πιεζόμενον ἐλθεῖν εἰς κρήνην, ἣν ἐφύλασσεν ὁ ὄφις· καὶ τοῦ ποτοῦ ὀρεγόμενος, ἀπέδοτο τοῦ γήρως τὸ φάρμακον· διὸ πάντας μὲν τοὺς ὄφεις καθ' ἕκαστον νεάζειν ἐνιαυτὸν, ἀποδυομένους τὸ γῆρας· τὸν δὲ ὄφιν τῆς κρήνης φύλακα καταλαβεῖν τὸ δίψος, ὅθεν τοῖς δηχθεῖσιν ἐμποιεῖ δίψαν. ἔστι δὲ ὁ μῦθος παρὰ Σοφοκλεῖ ἐν Κωφοῖς. Eamdem fabulam narrat Ælianus de Nat. Anim. vi. 51.

II. Schol. Apollonii Rhodii ad i. 972. Λέγεται δὲ ἴουλος καὶ ζῶόν τι, θηρίδιον πολύπουν· ἑκατέρωθεν γὰρ ἔχει πολλοὺς πόδας, ὥσπερ ἡ σκολόπενδρα. Θεόφραστος δὲ ἐν τῇ πρὸς Φανίαν ἐπιστολῇ καὶ ὄνον φησὶν αὐτὸν καλεῖσθαι, ὡς παρὰ Σοφοκλεῖ ἐν Κωφοῖς σατύροις·

Κυλισθεὶς ὥς τις ὄνος ἰσόσπριος.

Huc pertinet Hesychii glossa: Ὄνος ἰσόσπριος. ἔστι δὲ ζῶον πολύπουν, ὀσπρίῳ ὅμοιον, ὃ καὶ ἴουλον τινὲς φασίν. Gallis appellatur *Cloporte*. Facile poterat ignarissimus quisque levem scripturæ mendam in Tragici verbis eluere. Vellem Heathius conjecturæ parsisset. Satius erat lexica consulere.

III. Idem ad i. 1126. Ὅτι δὲ Νύμφη τις Οἰαξίδος γῆς δραξαμένη τοὺς καλουμένους Ἰδαίους Δακτύλους ἐποίησε, παρὰ Στησιμβρότου εἴληφε· καὶ ὅτι διὰ τὸ ῥυῆναι αὐτοὺς διὰ τῶν χειρῶν, Δάκτυλοι κληθῆναι. Σοφοκλῆς δὲ αὐτοὺς Φρύγας καλεῖ ἐν Κωφοῖς σατύροις. Confer Zenobium Prov. iv. 80. Κέλμις ἐν σιδήρῳ, ubi male citatur Sophocles ἐν Σατύροις, et Wesselingium ad Diodorum Sic. tom. i. p. 381. 4.

ΛΑΚΑΙΝΑΙ.

Fabulæ argumentum e parva Iliade sumptum testatur A teles de Poëtica, cap. 23.

I. Pollux ix. 49. Ἔστι δὲ ἡ ψαλὶς, εἶδος οἰκοδομήματος. ὑπαὶ κα ἐν Λακαίναις λέγει·

> Στενὴν δ' ἔδυμεν ψαλίδα, κοὐκ ἀβόρβορον.

II. Priscianus l. xviii. Attici, ἄρχω τοῦδε καὶ τόδε, ἀντὶ τοῦ ἄρχω. Σοφ. Λακαίναις·

> Θεοῖς ἄρ' οὔ ποτ', εἴ τι χρὴ βροτὸν λέγειν,
> ἄρξασι Φρυξὶ τὴν κατ' Ἀργείους ὕβριν,
> ξυναινέσαιμ' ἂν ταῦτα. μὴ μάχου βίᾳ.

Male Priscianus in ultimo versu ξυναινῶ ταῦτα.

III. Strabo p. 560. Τὴν δὲ Λὰν οἱ Διόσκουροι ποτὲ ἐκ πολι ἑλεῖν ἱστορῦνται, ἀφ' οὗ δὴ Λαπέρσαι προσηγορεύθησαν. Καὶ Σοφοκλῆς που·

> Νὴ τὼ Λαπέρσα, νὴ τὸν Εὐρώταν τρίτον,
> νὴ τοὺς ἐν Ἄργει καὶ κατὰ Σπάρτην θεούς.

Hos versus ad Lacænas pertinere probabiliter censet Meurs

ΛΑΟΚΟΩΝ.

I. Harpocration: Ἀγυιεὺς δέ ἐστι κίων εἰς ὀξὺ λήγων, ὃν ἱστᾶσι π θυρῶν—εἶεν ἂν καὶ παρὰ τοῖς Ἀττικοῖς λεγόμενοι ἀγυιεῖς, οἱ πρὸ τῶν βωμοί, ὥς φασι Κρατῖνος καὶ Μένανδρος, καὶ Σοφοκλῆς ἐν τῷ Λαοκ μετάγων τὰ Ἀθηναίων ἔθη εἰς Τροίαν, φησί·

> Λάμπει δ' ἀγυιεὺς βωμὸς ἀτμίζων πυρὶ
> σμύρνης σταλαγμοὺς, βαρβάρους εὐοσμίας.

Confer Suidam in Ἀγυιαί: et scholia ad Comici Vespas 87 quem locum hos versus protulit Fl. Christianus cum ri versione.

II. Scholiastes Comici ad Ranas 678.

> Πόσειδον, ὃς Αἰγαίου
> μέδεις πρωνὸς, ἢ γλαυκᾶς
> μέδεις εὐανέμου λίμνας
> ἐφ' ὑψηλαῖς σπιλάδεσσι
> στομάτων.

III. Dionysius Halic. Antiq. i. p. 38.

> Νῦν δ' ἐν πύλαισιν Αἰνέας ὁ τῆς θεοῦ
> πάρεστ', ἐπ' ὤμων πατέρ' ἔχων κεραυνίου
> νώτου καταστάζοντα βύσσινον φάρος.
> κυκλεῖ δὲ πᾶσαν οἰκετῶν παμπληθίαν·
> συνοπάζεται δὲ πλῆθος, οὐχ ὅσον δοκεῖς,
> οἳ τῆσδ' ἐρῶσι τῆς ἀποικίας, Φρυγῶν.

In 3. versu proba est lectio νώτου, pro quo Plutarchus Mo 100. aliorsum deflexa sententia citat μέτου. κεραυνίου valet νεοβλήτου, *fulminis afflati ventis,* ut loquitur Virgilius Æn. ii. De significatione verbi κυκλεῖ vide Toupii Epist. Crit. p Emendatos duos ultimos versus damus acutissimi Tyrwhitti et eleganti conjectura.

IV. Stobæus Floril. tit. xxix. p. 129.

Μόχθου γὰρ οὐδεὶς τοῦ παρελθόντος λόγος.

Nihil molesti retinet exactus labor.

Stobæi cod. Vindobon. in quo singulis fragmentis multo distinctius quam in aliis libris præpositi scriptorum et operum tituli, ita ut summe laudanda hac in parte librarii diligentia omnem eximat dubitationem de cujusque fragmenti auctoritate, hunc versum tanquam e Sophoclis Laocoonte designat; et sequentem, cui male adhæret vulgo hujusce titulus, Sophocli nude tribuit, non adjecto fabulæ indice.

V. Vide Lexicon in Καταῤῥάκτης.

ΛΗΜΝΙΑΙ.

I. Notum dramatis argumentum, Argonautarum in Lemnum appulsus, cum Lemniis mulieribus congressus, quem narrat Argonauticorum poëta lib. i. v. 609. Correctum fuisse videtur post primam emissionem, iterumque in scenam inductum. Nam a Stephano in Δώτιον laudantur Λημνίαι πρότεραι, e quibus hanc χρῆσιν profert, emendatam ab Adr. Heringa Observ. p. 235.

Φερητίδης τ' Ἄδμητος, ἠδ' ὁ Δωτιεὺς
Λαπίθης Κορωνός.

II. Schol. Pindari ad Pyth. iv. 303. Πάντας Σοφοκλῆς ἐν ταῖς Λημνιάσι τῷ δράματι καταλέγει τοὺς εἰς τὸ Ἀργῷον εἰσελθόντας σκάφος.

III. Schol. Apollonii Rhodii ad i. 773. Ὅτι δὲ ἐμίγησαν οἱ Ἀργοναῦται ταῖς Λημνίαις, Ἡρόδωρος ἱστορεῖ. Αἰσχύλος δὲ ἐν Ὑψιπύλῃ ἐν ὅπλοις φησὶν αὐτὰς ἐπελθούσας χειμαζομένοις τοῖς Ἀργοναύταις, μέχρις οὗ ὅρκον ἔλαβον παρ' αὐτῶν ἀποβάντας μίσγεσθαι αὐταῖς. Σοφοκλῆς δὲ ἐν Λημνίαις καὶ μάχην ἰσχυρὰν αὐτὰς συνάψαι φησίν.

IV. Etymol. M. Ἄθως, ἀκρωτήριον Θρᾴκης. Σοφ.

Ἄθως σκιάζει νῶτα Λημνίας βοός.

ἐν γὰρ τῇ Λήμνῳ βοῦς χαλκῆ ἵδρυται, ἐφ' ἣν τοῦ Ἄθω ἡ σκιὰ φθάνει. E Lemniis est hic versus procul dubio. Confer Apollonium Argon. i. 601. Deteriorem lectionem amplexus Grotius Λημνίας ἁλὸς, vertit in Excerptis:

Athos obumbrat Lemnii dorsum maris.

Vide Is. Vossii Observat. ad Melam ii. 2. p. 119.

V. Vide Αἰχμαλωτίδων fragm. vii. et Lexicon in Ἀξύμβλητον. Ἀσάλπικτον. Αὐτὸ δείξει.

ΜΕΛΕΑΓΡΟΣ.

Ad hanc fabulam pertinent versus a Luciano laudati in Convivio, p. 436. ubi Hetœmocles Stoïcus ista scripsisse fingitur: Εἰ δὲ δείπνου ἕνεκα ὀργίζεσθαί σοι δοκῶ, τὸ κατὰ τὸν Οἰνέα ἐννόησον. ὄψει γὰρ καὶ τὴν Ἄρτεμιν ἀγανακτοῦσαν, ὅτι μόνην αὐτὴν οὐ παρέλαβεν ἐκεῖνος ἐπὶ τὴν θυσίαν, τοὺς ἄλλους θεοὺς ἑστιῶν. Φησὶ δὲ περὶ αὐτῶν Σοφοκλῆς·

Συὸς μέγιστον χρῆμ' ἐπ' Οἰνέως γύαις
ἀνῆκε Λητοῦς παῖς ἑκηβόλος θεά.

Vide Lexicon in Ἀντίβοιον. Ἰξοφόρους. Κυάμῳ. Φίλανδρον.

ΜΕΜΝΩΝ.

Dramatis hujus meminit auctor argumenti Ajacis.

ΜΥΣΟΙ.

I. Stobæus Floril. tit. xxvi. p. 121.

Ὡς τοῖς κακῶς πράσσουσιν ἡδὺ καὶ βραχὺν
χρόνον λαθέσθαι τῶν παρεστώτων κακῶν.

Quam dulce miseris, proh, vel ad tempus breve
animo memoriam exuere fortunæ suæ.

II. Idem tit. xcviii. p. 405.

Ἄμοχθος γὰρ οὐδείς· ὁ δ᾽
ἥκιστ᾽ ἔχων μακάρτατος.

Nemo est absque laboribus:
felix cui minimum datur.

III. Strabo p. 546.

Ἀσία μὲν ἡ ξύμπασα κλήζεται, ξένε,
πόλις δὲ Μυσῶν Μυσία προσήγορος.

IV. Athenæus p. 183. Μνημονεύει δὲ τοῦ τριγώνου τούτου καὶ Σοφοκλῆς, ἐν μὲν Μυσοῖς οὕτως·

Πολὺς δὲ Φρὺξ τρίγωνος, ἀντίσπαστά τε
Λυδῆς ἐφυμνεῖ πηκτίδος συγχορδία.

καὶ ἐν Θαμύρᾳ, Ἀριστοφάνης δ᾽ ἐν Δαιταλεῦσι, καὶ Θεόπομπος ἐν Πηνελόπῃ. Εὔπολις δ᾽ ἐν Βάπταις φησίν·

Ὡς καλῶς μὲν τυμπανίζει,
καὶ διαψάλλει τριγώνοις.

Eupolidis versus dimetri sunt trochaici.

V. Pollux x. 186. Φαίης δ᾽ ἂν καὶ σισύρναν, Σοφοκλέους ἐν Μυσοῖς λέγοντος·

Ψαλίδας, τιάρας, καὶ σισυρνώδη στολήν.

VI. Vide Lexicon in Ἄβολος. Ἀποβάθρα. Ἀποσύρει. Ἀπύρου. Ἀστραφής. Ἀφθίτους.

ΜΩΜΟΣ Σατυρικός.

Citatur Sophocles in Μώμῳ et in Κώμῳ. Alteruter titulus ex altero depravatus est. Uter verior sit dijudicare haud facile est.

Vide Lexicon in Ἀλώπηξ. Ἀμφίον. Ἀνασύψαι. Ἄνθρωσκε. Ἀποσκόλυπτε. Ἄρπην.

ΝΑΥΠΛΙΟΣ.

Duplex inscriptio fabulæ; nam alias citatur ΝΑΥΠΛΙΟΣ ΚΑΤΑΠΛΕΩΝ, alias ΝΑΥΠΛΙΟΣ ΠΥΡΚΑΕΥΣ. Nauplius audita filii sui morte, Græcorum castra ad Trojam adiit, quumque ab iis frustra petiisset, ut a fraudis auctoribus qua Palamedes damnatus fuerat, pœnas exigerent, in Græciam revertens diversas ad urbes appulit, ubi falsis nuntiis primariorum ducum uxores quæ a mœchis solicitabantur in crimen impulit. Rem narrat Tzetzes ad Lycophr. 384. Ἄπρακτος δὲ ὑποστρέψας, περιπλέων λοιπὸν τὰς χώρας τὰς Ἑλληνίδας, παρεσκεύασε τὰς τῶν Ἑλλήνων γυναῖκας μοιχευθῆναι, Κλυταιμνήστραν τὴν τοῦ Ἀγαμέμνονος Αἰγίσθῳ· Αἰγιάλειαν τὴν Διομήδους τῷ υἱῷ Σθενέλου· Μήδαν δὲ τὴν Ἰδομενέως ὑπὸ Λεύκου. Si diversa fuerunt dramata, ex hoc Nauplii facto sumptum fuerit prioris argumentum: materia autem posterioris nota, fax in Caphareo promontorio edita,

qua conspecta Græci a Troja navigantes, portum esse crediderunt, et ad rupes allisi naufragio perierunt.

I. Schol. Pindari ad Isthm. vi. 10. Τὸν δὲ τρίτον κρατῆρα Διὸς Σωτῆρος ἔλεγον, καθὰ καὶ Σοφοκλῆς ἐν Ναυπλίῳ·

Ζεῦ παυσίλυπε, καὶ Διὸς Σωτηρίου
σπονδὴ τρίτου κρατῆρος.

II. Stephanus in Ἀσπίς—Σοφ. ἐν Ναυπλίῳ καταπλέοντι·

Ἀλλ' ἀσπιδίτην ὄντα καὶ πεφραγμένον,
ὡς ἀσπιδοῦχος, ἢ Σκύθης τοξεύμασι.

III. Stobæus Floril. tit. civ. p. 427.

Τῷ γὰρ κακῶς πράσσοντι μυρία μία
νύξ ἐστιν· εὖ παθόντας εἶθ' ἑτέρα θανεῖν.

Sic scripti sunt hi versus in Reg. cod. Legendum videtur εὖ παθόντα θἠτέρᾳ θανεῖν, subintellecto χρὴ, aut simili verbo, quod in subsequente versu, ab excerptore prætermisso, subjectum fuisse probabile est. Sententia est: *Infelici nox una mille esse videtur; cui bene est, ei statim altero die moriendum est.* Grotius Græca a se parum feliciter emendata sic vertit:

Mala namque passo mille si felicior
nox una detur, altera mors imminet.

IV. Aristides tom. i. p. 259. de incendio quo deflagravit Cereris templum: Ποίας Ναυπλίου ΠΑΓΑΣ ΥΠΟΠΥΡΟΥΣ, ὡς ἔφη Σοφοκλῆς, ἄξιον τῇ πυρκαϊᾷ ταύτῃ παραβαλεῖν;

V. Achilles Tatius Isag. ad Arati Phænom. cap. i. Σοφοκλῆς δὲ Παλαμήδει ἀνατίθησιν. λέγοντα γὰρ Ναύπλιον εἰσάγει.

Οὗτος δ' ἐφεῦρε τεῖχος Ἀργείων στρατῷ,
σταθμῶν, ἀριθμῶν, καὶ μέτρων εὑρήματα·
κἀκεῖν' ἔτευξε πρῶτος ἐξ ἑνὸς δέκα,
κἀκ τῶνδε γ' αὖθις εὗρε πεντηκοντάδας
εἰς χίλι'· οὗτος εἰς στρατῷ φρυκτωρίαν,
ὕπνου φυλάξεις, ἐς δ' ἕω σημάντρια
ἔδειξε, κἀνέφηνεν οὐ δεδειγμένα·
ἐφεῦρε δ' ἄστρων μέτρα καὶ περιστροφάς,
τάξεις τε ταύτας, οὐράνιά τε σήματα,
ναῶν τε ποιμαντῆρσιν ἐνθαλασσίων
Ἄρκτου στροφάς τε καὶ Κυνὸς ψυχρὰν δύσιν.

Sic optime hos versus disposuit et emendavit Heathius, sagaciter observans eos e Palamede non esse, quum in illo dramate Nauplii personæ locus non fuerit. Ista v. 3. ἔτευξε ἐξ ἑνὸς δέκα, et quæ sequuntur, pertinent ad Palamedis commentum in militari disciplina, quo facilem modum reperit militum multitudinem numerandi, divisam in δεκάδας, πεντηκοντάδας, χιλιάδας: qua de re videndus Dio Chrysost. Orat. de Exsilio, p. 225. Grotii versionem, etiamsi Græcis, ut oportuit, digestis, non usquequaque congruat, subjicimus tamen:

Hic Græca docuit castra vallo includere:
numerosque mensurasque certosque ordines
idem ille reperit, et suas rebus notas:
jussitque primum surgere ex uno in decem:
construxit inde quinquies denûm agmina:

millena deinde: signa quin et bellica
disposuit ignes, ante notos nemini.
deprendit astris quis modus, quæ sint viæ,
custodiæ soporis, auroræ indices,
regimenque ratibus in salo natantibus
Plaustri rotatum, et frigus occidui Canis.

VI. Eustathius p. 228. Παλαμήδους ἐπινοησαμένου κυβείαν καὶ πεττείαν ἐν Ἰλίῳ εἰς παραμύθιον λιμοῦ κατασχόντος τὴν ϛρατιὰν, λίθος ἐκεῖ ἐδείκνυτο, ἐφ' οὗ ἐπέσσευον. τῆς δὲ τοιαύτης ἐπινοίας τοῦ Παλαμήδους, καὶ τῆς εὑρέσεως δὲ τοῦ χρόνου, ἣν καὶ αὐτὴν ἐκεῖνος ἐσοφίσατο, μάρτυρα παράγουσι Σοφοκλῆν, ὃς ἐν δράματι ὁμωνύμῳ τῷ εὑρετῇ Παλαμήδει φησίν·

Οὐ λιμὸν οὗτος τόνδ' ἀπῶσε, ξὺν θεῷ
εἰπεῖν, χρόνου τε διατριβὰς σοφωτάτας
ἐφεῦρε, φλοίσβου μετὰ κόπον καθημένοις,
πεσσοὺς, κύβους τε, τερπνὸν ἀργίας ἄκος;

Nonne hic Deum virtute nos omnes fame
exemit? usum nonne sapientem otii,
laboris intervalla, dedit, ignaviæ
dulcem medelam, tesseram et latrunculos?

Nihil tam apertum est, quam hos versus ad eamdem Nauplii ῥῆσιν pertinere, cujus partem ab Achille Tatio servatam supra protulimus. Proinde sunt itidem ex Nauplio: aut si Eustathii fidem sequimur, licet dramatum quibus nunc caremus nullum ipse viderit, ad Palamedem priores alteri etiam referendi sunt. Nihil superest, unde colligere possimus, quænam fuerit harum fabularum œconomia: id tantum apparet, in ea cui materiam dedit Palamedes a Pelasgis infanda sub proditione neci demissus, Nauplii, cujus ex persona ῥῆσις ista recitata fuit, nullas partes esse potuisse. Non enim is in castris Græcorum erat, quando Palamedes Ulyssis fraude oppressus fuit. Ad eamdem ῥῆσιν pertinet etiam versus ille a Polluce, Hesychio, Eustathio, aliisque citatus:

Καὶ πεσσὰ πεντέγραμμα καὶ κύβων βολαί.

Quæ Grotius sic vertit in Excerptis:

Calculi per lineas
qui promoventur quinque, jactusque aleæ.

VII. Vide Lexicon in Ἀνόριος. Ἐλύμνιον. Ἐπίκοτα. Κατουλάδας. Ναύκληρον. Ὀλκία. Πεσσά. Τρίτος κρατήρ.

ΝΑΥΣΙΚΑΑ Ἢ ΠΛΥΝΤΡΙΑΙ.

I. Eustathius p. 1553. Μάλιστα δὲ, φασὶν, ἐπεμελήθησαν ὕστερον σφαιριστικῆς, πόλεων μὲν, κοινῇ Λακεδαιμόνιοι· βασιλέων δὲ, ὁ μέγας Ἀλέξανδρος· ἰδιωτῶν δὲ, Σοφοκλῆς ὁ τραγικός. ὃς καὶ, ὅτι, φασὶ, τὰς Πλυντρίας ἐδίδαξε, τὸ τῆς Ναυσικάας πρόσωπον σφαίρᾳ παιζούσης ὑποκρινόμενος, ἰσχυρῶς εὐδοκίμησεν. Hausit ista, ni fallor, ex Athenæi l. i. cujus nos in epitome p. 20. legimus de Sophocle scripta: ἄκρως ἐσφαίρισεν, ὅτε τὴν Ναυσικάαν καθῆκε. Sic enim legendum cum Causaubono; qui, neque Eustathii recordatus, quum perdoctum conderet dramatum Sophoclis catalogum, velut duo diversa Ναυσικάαν recensuit et Πλυντρίας. Unum fuit duntaxat, inscriptum ΝΑΥΣΙΚΑΑ Ἢ ΠΛΥΝ-

ΤΡΙΑΙ. *Valckenarius ad Eurip. Hippol.* p. 181. Quam superiori loco Eustathius citat fabulam τὰς Πλυντρίας, eamdem in Comment. ad Iliadem, p. 381. innuit his verbis: Ὅτι δὲ τὸ σπουδαίως κιθαρίζειν ἐφιλεῖτο τοῖς παλαιοῖς, δηλοῦσι μυρίοι καὶ τῶν μεθ' Ὅμηρον. μαρτυρεῖ δὲ καὶ ἡ κωμικὴ ποίησις, ἔτι δὲ καὶ ἡ τραγικὴ, ἐν ᾗ προλάμπων Σοφοκλῆς περιᾴδεται οὐ μόνον δεινὸς εἶναι σφαιρίσαι, ὡς ἡ κατ' αὐτὸν ἐδήλωσε δραματικὴ Ναυσικάα, καθὰ καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν δηλοῦται· ἀλλὰ καὶ κιθαρίζειν ἄκρος, οὕτω δὲ καὶ ὀρχεῖσθαι καὶ χορεύειν.

II. Vide Lexicon in Ἀναρριβδεῖ. Ἐπενδύτης. Λαμπήνη.

ΝΙΟΒΗ.

I. Athenæus p. 601. Αἰσχύλος μέγας ὢν ποιητὴς καὶ Σοφοκλῆς ἦγον εἰς τὰ θέατρα διὰ τῶν τραγῳδιῶν τοὺς τῶν παίδων ἔρωτας· ὁ μὲν, τὸν Ἀχιλλέως πρὸς Πάτροκλον, ὁ δ' ἐν τῇ Νιόβῃ, τὸν τῶν Νιόβης παίδων. Nioben Sophoclis intelligendam esse et ipsa formula ostendit ὁ μὲν, ὁ δὲ, quorum prius ad Æschylum, posterius ad Sophoclem referendum: tum Plutarchi locus plane demonstrat Moral. p. 760. Τῶν τοῦ Σοφοκλέους Νιοβιδῶν βαλλομένων καὶ θνησκόντων, ἀνακαλεῖταί τις οὐδένα βοηθὸν ἄλλον οὐδὲ σύμμαχον, ἢ τὸν ἐραστήν. Vide Valckenarii Diatr. Eurip. p. 13. unde hæc petita.

II. Scholiastes Æschyli ad Prometheum 435. cujus locum emendatum damus infra in Phrygibus.

III. Eustathius p. 1367. Τῆς Νιόβης ἡ συμφορὰ κατὰ μέν τινας, ἐν Λυδίᾳ· κατὰ δέ τινας ἐν Θήβαις γενέσθαι λέγεται. Σοφοκλῆς δὲ τοὺς μὲν παῖδας αὐτῇ ἐν Θήβαις ἀπολέσθαι φησίν· αὐτὴν δὲ εἰς Λυδίαν ἐλθεῖν. Ad hanc fabulam respexit Lutatius ad Statii Theb. lib. vi. *Niobe, secundum Homerum, duodecim filios habuit. Sophocles autem dicit eam quatuordecim habuisse.*

IV. Diogenes Laërt. in vita Zenonis vii. 28. Ἐτελεύτα δὲ οὕτως. ἐκ τῆς σχολῆς ἀπιὼν προσέπταισε, καὶ τὸν δάκτυλον περιέῤῥηξε. παίσας δὲ τὴν γῆν τῇ χειρὶ, φησὶ τὸ ἐκ τῆς Νιόβης· Ἔρχομαι, τί μ' αὔεις; Vide Valckenarium ad Eurip. Phœnissas, p. 320.

V. Niobes mentio in his Comici versibus in Vespis, 579.

Κἂν Οἴαγρος εἰσέλθῃ φεύγων, οὐκ ἀποφεύγει, πρὶν ἂν ἡμῖν,
ἐκ τῆς Νιόβης εἴπῃ ῥῆσιν, τὴν καλλίστην ἀπολέξας.

Verum incertum an Œagrus tragœdus Æschyli, Sophoclisne Nioben egerit.

VI. Plutarchus Symposiacon vi. 6. αὐτοὺς παραλογιζόμεθα, θερμὸν εὐθὺς εἶναι τὸ θερμαῖνον ὑπολαμβάνοντες· καὶ ταῦθ', ὁρῶντες ὅτι ταὐτὸ ἱμάτιον ἐν χειμῶνι θερμαίνει, ἐν δὲ ἡλίῳ ψύχειν λέγομεν. ὥσπερ ἡ τραγικὴ τροφὸς ἐκείνη τὰ τῆς Νιόβης τέκνα τεθνηκότα,

λεπτοσπαθήτων χλανιδίων ἐρειπίοις
θάλπουσα καὶ ψύχουσα, καὶ πόνῳ πόνον
ἐκ νυκτὸς ἀλλάσσουσα τὸν καθ' ἡμέραν.

Hos versus e Sophoclis Niobe petitos emendavit Valckenarius in Annotationibus Phalaridis Epistolis præmissis, p. 10. Quæ de hoc fragmento disputat vir summus ne doctiores quidem legisse pœnitebit.

VII. Vide Scholiastam nostrum ad Œd. Col. 684. et Lexicon in Διερμηνής. Ἐλύμους. Ἦ ἀντὶ τοῦ ἦν.

ΝΙΠΤΡΑ Ἢ ΟΔΥΣΣΕΥΣ ΑΚΑΝΘΟΠΛΗΞ.

Argumentum fuit mors Ulyssis pastinacæ radio icti a Telegono filio. Rem his verbis narrat Eustathius p. 1676. Τηλέγονος ὁ Κίρκης καὶ Ὀδυσσέως ἡφαιστότευκτον δόρυ ἔχων, οὗ ἀδαμαντίνη μὲν ἡ ἐπιδορατὶς, αἰχμὴ δὲ, κέντρον θαλαττίας τρυγόνος, χρυσοῦς δὲ ὁ σύραξ, καὶ ἐλθὼν ἐκ Τυῤῥηνίας εἰς ἀναψηλάφησιν τοῦ πατρὸς, καὶ ληλατῶν ἀγνοίᾳ τὰ ἠπειρωτικὰ τοῦ Ὀδυσσέως κτήματα, καὶ εὑρὼν ἀντίπαλον τὸν πατέρα, ἀνεῖλεν ἐκ εἰδώς. καὶ οὕτω τῷ κατὰ θάλασσαν ἀεὶ κακῶς πράττοντι, ἐκ θαλάττης αὖθις ὁ θάνατος, ὃς ἔπεφνεν αὐτὸν, καθὰ καὶ Ὀππιανὸς ἱστορεῖ, τῷ τῆς τρυγόνος κέντρῳ. Pastinacam describit Oppianus Ἁλιευτικῶν ii. 462. unde, quæ de piscis hujus radio, quem βέλος appellat, huc pertinentia habet, describam:

Κεῖνό ποτ' αἰγανέῃ δολιχήρεϊ καμπήεσσῃ
Κίρκη Τηλεγόνῳ πολυφάρμακος ὤπασε μήτηρ,
αἰχμάζειν δηΐοις ἅλιον μόρον· αὐτὰρ ὁ νήσῳ
αἰγιβότῳ προσέκελσε, καὶ οὐ μάθε πώεα πέρθων
πατρὸς ἑοῦ· γεραρῷ δὲ βοηδρομέοντι τοκῆϊ
αὐτῷ, τὸν μάστευε, κακὴν ἐνεμάξατο κῆρα.
ἔνθα τὸν αἰολόμητιν Ὀδυσσέα, μυρία πόντου
ἄλγεα μετρήσαντα πολυκμήτοισιν ἀέθλοις,
τρυγὼν ἀλγινόεσσα μιῇ κατενήρατο ῥιπῇ.

Hanc fabulam Pacuvius Latinam fecit, sed libere, Romanorum tragicorum more, qui, servata Græcorum dramatum œconomia, multa mutabant in moribus et sententiis. Vide Ciceronis Tuscul. ii. 20. Dubitare non debebat Casaubonus, quin Sophocles Νίπτρα ediderit. Verum non est Pacuvium novo titulo NIPTRA inscripsisse fabulam, cui Sophocles indicem fecerat Ὀδυσσεὺς ἀκανθοπλήξ. Sophoclei dramatis index fuit Νίπτρα ἢ Ὀδυσσεὺς ἀκανθοπλὴξ, ut aliæ multæ fuerunt fabulæ duplici titulo insignitæ. Νίπτρα citat Suidas in Παρουσία, quod Casaubonum fugerat. Apollodorus Tarsensis eodem titulo Ὀδυσσεὺς ἀκανθοπλὴξ tragœdiam scripserat, teste Suida, cujus verba luxata. Vide Hemsterhusii notam ad Thomam M. in Ἀκανθοπλήξ.

I. Stephanus in Δωδώνη—λέγεται καὶ Δωδὼν, ἧς τὴν γενικὴν Σοφ. Ὀδυσσεῖ Ἀκανθοπλῆγι·

Νῦν δ' οὔτε μ' εἰς Δωδῶνος, οὔτε Πυθικὰς
γύας τις ἂν πείσειεν.

καὶ δοτικήν·

Δωδῶνι ναίων Ζεὺς ὁμέστιος βροτῶν.

τῆς μέν τοι Δωδώνης, Δωδωναῖος· καὶ τὸ θῆλυ, Δωδωνίς. Σοφ. Ὀδυσσεῖ Ἀκανθοπλῆγι·

Τὰς θεσπιῳδοὺς ἱερίας Δωδωνίδας.

Stephani interpretes dramatis titulum imperite verterunt, ULYSSES SPINIS FLAGELLATUS, ULYSSES FLAGRIS CÆSUS. Verti debuit ULYSSES PASTINACÆ RADIO VULNERATUS. Plinius l. ix. sect. 72. *Radius super caudam eminens trygonis, quam nostri pastinacam appellant, quincunciali magnitudine. Arbores infixus radici necat: arma, ut telum, perforat: vi ferri, et veneni malo.*

II. Scholiastes Ms. Homeri ad Iliad. α'. 135. Καὶ Σοφ. ἐν Ὀδυσσεῖ Ἀκανθοπλῆγι·

Εἰ μὲν τις οὖν ἕξουσιν· εἰ δὲ μὴ, λέγε.

Ad eumdem Homeri locum, ubi variis exemplis ellipsin illustrat, Eustathius hunc e Sophocle senarium profert, sed omisso dramatis titulo.

III. Ad hanc fabulam respicit Philosophus in libello de Poëtica, cap. xiv. Ὁ Τηλέγονος ὁ ἐν τῷ τραυματίᾳ Ὀδυσσεῖ.

IV. Vide Sophoclis vitam, et Lexicon in Ἀθηρόβρωτον. Ἐλασιάσειν. Παρουσία.

ΞΟΑΝΗΦΟΡΟΙ.

Scholiastes Æschyli ad S. Th. 310. Εἴρηται δὴ καὶ ἐν Ξοανηφόροις Σοφοκλέους, ὡς οἱ θεοὶ ἀπὸ τῆς Ἰλίου φέρουσιν ἐπὶ τῶν ὤμων τὰ ἑαυτῶν ξόανα, εἰδότες ὅτι ἁλίσκεται. Vide Stanleii notam ad ejusdem Æschylei dramatis v. 223.

ΟΔΥΣΣΕΥΣ ΜΑΙΝΟΜΕΝΟΣ.

Argumentum, Ulysses furorem simulans, ne ad Trojam navigare cogeretur, et a Palamede fraudis convictus. Προσποιούμενον γὰρ αὐτὸν μαίνεσθαι, Παλαμήδης ἤλεγξεν, inquit Scholiastes noster ad Philoct. 1025. Hac de re exstant apud Ciceronem de Officiis iii. 25. Pacuvii versus ex Armorum judicio:

Cujus ipse princeps jurisjurandi fuit,
quod omnes scitis, solus neglexit fidem;
furere assimulavit; ne coiret, institit.
quod ni Palamedis perspicax prudentia
istius percepset malitiosam audaciam,
fide sacratæ jus perpetuo falleret.

Inde Ovidius Metam. xiii. 36.

Detrectavitque furore
militiam ficto: donec solertior isto,
sed tibi inutilior, timidi commenta retexit
Naupliades animi, vitataque traxit in arma.

I. Pindarus Isthm. vi. 86.

Τὸν Ἀργείων τρόπον
εἰρήσεταί που κἂν βραχίστοις.

Ad quæ Scholiastes: Μακρολόγοι μὲν οὖν οἱ Ἴωνες· σύντομοι δὲ οὐ μόνον Λάκωνες, ἀλλὰ καὶ Ἀργεῖοι. Σοφ. Ὀδυσσεῖ Μαινομένῳ·

Πάντ᾽ οἶσθα; πάντ᾽ ἔλεξα τἀντεταλμένα;
μῦθος γὰρ Ἀργολιστὶ συντέμνειν βραχύς.
Scis cuncta: dixi quidquid injunctum est: brevis
est sermo, summam more qui Argolico exprimit.

II. Vide Lexicon in Ἐμπέραμος. Ἠμαλάψαι. Θερμοτοῖσι. Θριάζειν. Μάγνον.

ΟΙΝΟΜΑΟΣ ἢ ΙΠΠΟΔΑΜΕΙΑ.

Una eademque fuit fabula, quæ modo Hippodamiæ, modo Œnomai titulo citatur,

I. Stobæus Floril. tit. xxvii. p. 121.

Ὅρκου δὲ προστεθέντος, ἐπιμελεστέρα
ψυχὴ κατέστη. δισσὰ γὰρ φυλάσσεται,
φίλων τε μέμψιν, κεἰς θεοὺς ἁμαρτάνειν.

Mens excitari jurejurando solet,
ut bina diligenter evitet mala,
culpari amicis, et Deos offendere.

II. Athenæus p. 410. Σοφοκλῆς Οἰνομάῳ·

Σκυθιστὶ χειρόμακτρον ἐκκεκαρμένος.

Huic senario accommodata est Hesychii glossa a Lennepio ad Phalaridis Epist. p. 73. emendata: Οἱ Σκύθαι τῶν λαμβανομένων ἐν πολέμοις ἀνθρώπων τὰς κεφαλὰς ἐκδέροντες, τοῖς δέρμασιν ἀντὶ χειρομάκτρων ἐχρῶντο. Eodem sensu glossam emendavit Toupius ad Suidam iii. p. 40. sed aliquanto minus veteris scripturæ vestigiis insistens.

III. Idem p. 564. Σοφοκλῆς δέ που περὶ τοῦ κάλλους τοῦ Πέλοπος διαλεγομένην ποιήσας τὴν Ἱπποδάμειαν, φησίν·

Τοίαν Πέλοψ ἴυγγα θηρατηρίαν
ἔρωτος, ἀστραπήν τιν' ὀμμάτων ἔχει·
ἐνθάλπεται μὲν αὐτὸς, ἐξοπτᾷ δ' ἐμὲ,
ἴσον μετρῶν ὀφθαλμὸν, ὥστε τέκτονος
παρὰ σταθμὴν ἰδόντος ὀρθοῦται κανών.

Sunt admodum depravati hi versus apud Athenæum: eos exhibeo, uti emendati leguntur in notis ad Euripidis Hippolytum 468. nisi quod in ult. v. ubi in Athenæo legitur παρὰ σταθμὴν ἰόντος, veram lectionem restitui, quam conjectura leni, facili et certissima assecutum est ingeniosi Tyrwhitti acumen. Valckenarius legebat παρὰ σταθμὴν ἰσοῦντος, constante itidem metro, nec malo sensu. Studio, ut videtur, doctissimos viros carpendi Toupius ad Theocriti Scholiastem, p. 211. tum alia, tum istud ἰόντος tuetur, quod ego prorsus mendosum esse statuo. Eleganti metaphora Theognis dixit: εἶμι παρὰ σταθμὴν ὀρθὴν ὁδόν. Sed qui extra metaphoram loquitur de fabro materiam æquante, non dicit eum *ad perpendiculum ire,* dum amussim dirigit; bene vero, eum *oculo perpendiculum servantem,* amussim dirigere. Toupii reliqua prætermitto, quæ ei nollem excidisse. Hos versus a se parum feliciter emendatos ita vertit Grotius:

Quas illecebras ille, vim venaticam
amoris acre fulgur oculorum gerit?
etiam ille quoties saltat, æquali modo
me contuetur, sicut artificem faber
quum jacit amussim, lineam rectam facit.

IV. Aristophanes Avibus, 1337.

Γενοίμαν αἰετὸς ὑψιπέτας,
ὡς ἂν ποταθείην ἀτρυγέτου
γλαυκᾶς ὑπὲρ οἶδμα λίμνας.

Hos versiculos Comicum e Sophoclis Œnomao traduxisse Scholiastes monet. Simile votum observes in Œd. Col. 1081. et in Euripidis Hippolyto, 737.

V. Diogenes Laërt. in vita Arcesilai iv. 35. Πρὸς δὲ τὸν διανεστικὸν καὶ φιλόλογον, εἰπόντα τι ἀγνοεῖν, ἔφη·

Λήθουσι γάρ τοι κἀνέμων διέξοδοι
θήλειαν ὄρνιν, πλὴν ὅταν τόκος παρῇ.

ἔστι δὲ ταῦτα ἐκ τοῦ Οἰνομάου Σοφοκλέους.

Nescit latentes transitus ventorum avis
femella, fetus adsit ni in præsentia.

Confer Suidam in Διέξοδοι et in Λήθουσι, ubi demum versus isti emendate scripti leguntur: quod Grotium fugisse miror, cujus versio, in Excerptis videnda, a Græcorum sensu quam longissime remota est. Arcesilaus vocem τόκος alio sensu accipiens, jocum ex ambiguitate petebat, innuens fœneratorem nihil aliud nosse nec cogitare, quam tempus exigendæ usuræ.

VI. Hesychius: Ἀρουραῖος Οἰνόμαος. Δημοσθένης Αἰσχίνην οὕτως ἔφη, ἐπεὶ κατὰ τὴν χώραν περινοστῶν ὑπεκρίνετο Σοφοκλέους τὸν Οἰνόμαον.

ΠΑΛΑΜΗΔΗΣ.

Vide Lexicon in Ἄκιστρον. Δροπά.

ΠΑΝΔΩΡΑ ἢ ΣΦΥΡΟΚΟΠΟΙ.

I. Athenæus p. 476. ubi de voce κέρας *poculum* significante; Καὶ Σοφοκλῆς Πανδώρᾳ·

Καὶ πλῆρες ἐκπιὼν τι χρύσεον κέρας
τρίψει γέμοντα μαλθακῆς ὑπ' ὠλένης.

II. Vide Lexicon in Ἐνουρήθρα. Κιχήλωμαι. Ὀργασμός.

ΠΕΛΙΑΣ.

Erotianus in Glossario Hippocrateo: Παιδικὸν πάθος. παιδίαν νῦν, τὴν παιδοτροφίαν· ὅθεν καὶ Σοφοκλῆς ἐν Πελίᾳ φησί·

Λευκὸν γὰρ αὐτὴν οὐκ ἐπαίδευσεν γάλα.

ΠΕΡΙΑΛΛΟΣ.

Vide Lexicon in Καρπομανής.

ΠΗΛΕΥΣ.

I. Clemens Al. Strom. vi. p. 748.

Πηλέα τὸν Αἰάκειον οἰκουρὸς μόνη
γεροντάγωγῶ, κἀναπαιδεύω πάλιν.
πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ.

Ego sola servans Pelei Æacidæ larem,
senem guberno semper et manibus rego:
namque ætas hominis ultima in puerum redit.

Profert hos versus etiam, sed minus emendate, Scholiastes Comici ad Nubes 1419. Medii parodia est in Equitibus, 1098. ubi Demus isiciario ait:

Καὶ μὴν ἐμαυτὸν ἐπιτρέπω σοὶ τουτονὶ
γεροντάγωγεῖν, κἀναπαιδεύειν πάλιν.

Vide Toupium Cur. nov. in Suidam, p. 33.

II. Ὀμοῤῥοθῶ, συνθέλω,
συμπαραινέσας ἔχω,
προσόδια μεγάλα
σεμνὰ προσιέναι θεοῖσιν.
ἴτω δὲ Πυθιὰς βοὰ τῷ θεῷ.

Hos versus in Aves transtulit Comicus 851. e Sophoclis Peleo, teste Scholiasta, illisque sua salse immiscuit.

III. Vide Lexicon in Κυκνῖτις. Λιποψυχεῖν. Μὴ νόμισον. Ὑπεραλφεῖν.

ΠΟΙΜΕΝΕΣ.

I. Tzetzes ad Lycophronem 529. Ἱστορεῖ ὁ Σοφοκλῆς ἐν Ποιμέσιν, ὑπὸ τοῦ Ἕκτορος ἀναιρεθῆναι τὸν Πρωτεσίλαον. Inde excogitari potest fabulæ argumentum, cui titulum fecit Chorus e pastoribus constans.

II. Sextus Empiricus adversus Grammaticos, p. 286. Οὔτι γὰρ ἐκ τέχνης τινὸς μεμαθήκασιν, ὅτι οἱ παρὰ τῷ Σοφοκλεῖ ποιμένες, ἰὼ βαλλὴν λέγοντες, ἰὼ βασιλεῦ λέγουσι Φρυγιστί· ἀλλὰ παρ' ἄλλων ἀκούσαντες. Hesych. Βαλλὴν, βασιλεὺς Φρυγιστί.

III. Harpocration in Νάννιον. Ὅτι γὰρ θαλλῷ χαίρουσιν αἱ αἶγες, καὶ Σοφοκλῆς Ποιμέσιν·

Ἑωθινὸς γὰρ πρίν τιν' αὐλητῶν ὁρᾷν,
θαλλὸν χιμαίραις προσφέρων νεοσπάδα,
εἶδον στρατὸν στείχοντα παραλίαν πέτραν.

Leguntur hi versus etiam apud Athenæum, p. 567. Ad primum pertinet Hesychii glossa: Αὐλητὴν, τὸν τοῦ κόπρου ἐπιμελούμενον τῶν προβάτων. In 3. lego una voce παραλίαν. Sic in Theseo παρακτίαν στείχων.

IV. Athenæus p. 319. Τῶν πηλαμίδων μνημονεύει καὶ Σοφοκλῆς ἐν Ποιμέσιν·

Ἔνθ' ἡ πάροικος πηλαμὶς χειμάζεται,
πάροικος Ἑλλησποντὶς, ὡραία θέρους
τῷ Βοσπορίτῃ, τῷδε γὰρ θαμίζεται.

Huc referri potest Hesychii glossa: Θαμίζεται, ὁμιλεῖ.

V. Plutarchus Vit. parall. p. 795. Οἱ Σοφοκλέους βοτῆρες ἐπὶ τῶν ποιμνίων λέγουσιν·

Τούτοις γὰρ ὄντες δεσπόται δουλεύομεν,
καὶ τῶνδ' ἀνάγκη καὶ σιωπώντων κλύειν.

Famulamur illis, qui tamen domini sumus,
quamvisque taceant, nos ea audire est opus.

Ad nullam aliam Sophoclis fabulam melius quam ad Pastores hi versus referri possunt.

VI. Vide Lexicon in Ἀμφήμερον. Ἀναλῶσαι. Βάρις. Βιρεκύντα. Θρηνεῖν. Ἰάνισα. Κυκνῖτις. Ξενῶ. Φοινικίοις. Ψό.

ΠΟΛΥΙΔΟΣ ἢ ΜΑΝΤΕΙΣ.

I. Etymologicon Regium Ms. citatum in Valckenarii Diatr. Eurip. p. 200. Πολύϊδος. Οὕτω καὶ Ἀπολλώνιος ὁ τοῦ Ἀρχιβίου· καὶ ἔστι, φησὶν, πολυΐδμων μάντις ὤν. οὕτω καὶ τὸ δρᾶμα ἐπιγράφεται

παρὰ Ἀριστοφάνει· μαρτυρεῖ δὲ Φιλόξενος. καὶ Σοφοκλῆς δὲ Μάντεσι συνέστειλεν·

Ὁρῶ πρὸ χειρῶν Πολυΐδου τοῦ μάντεως.

καὶ πάλιν·

Οὐκ ἔστιν εἰ μὴ Πολυΐδῳ τῷ Κοιράνου.

Eadem nominis scriptura apud Clementem Al. Strom. i. p. 399. ubi inter insignes vates recensetur Πολύϊδος τε ἐν Ἄργει, καὶ ἐν Μεγάροις, οὗ μέμνηται ἡ τραγῳδία.

II. Euripidis Schol. ad Phœnissas 1290. Τῆς κύστεως τὸ στόμα ἱερῶν δεσμοῦντες ἐπετίθεσαν τῷ πυρί, καὶ παρετήρουν πῶς ῥήγνυται, καὶ ποῦ τὸ οὖρον ἀκοντίσει. Σοφοκλῆς ἐν Μάντεσι·

Τὰς μαλλοδέτους κύστεις.

III. Stobæus Floril. tit. xxix. p. 127.

Οὔ τοι γ᾽ ἐφίξῃ τῶν ἄκρων ἄνευ πόνου.

Citra laborem magna non datur assequi.

Vide Valckenarium ad Phœnissas, p. 217.

IV. Porphyrius de Abstinentia, l. ii. p. 134. edit. Ultrajectinæ. Clemens Al. Stromat. iv. p. 565.

Ἦν μὲν γὰρ οἰὸς μαλλός, ἦν δὲ κἀμπέλου
σπονδή τε, καὶ ῥὰξ εὖ τεθησαυρισμένη·
ἐνῆν δὲ συμμιγὴς ὅλαις παγκαρπία,
λίπος τ᾽ ἐλαίας, καὶ τὸ ποικιλώτατον
ξουθῆς μελίσσης κηρόπλαστον ὄργανον.

Vesti inerat ovium vellus: inerat vitium
latex, et uva cui suus perstat vigor,
et omnigenerum fructuum collectio,
et pinguis oleæ sudor, et flavens apis
quod multiforme struxit e ceris opus.

Ultimum versum citat Schol. Euripidis ad Phœnissas 116. ubi docet ὄργανον poni pro ἔργον, ἐκ τοῦ ποιοῦντος τὸ ποιούμενον. Confer Xylandri et Casauboni notas ad Strabonem, p. 31.

V. Schol. Comici ad Ranas 596. Σοφοκλῆς ἐν Μάντεσιν ἐπί τινων ὀρνίων·

Τοὺς γλαμυροὺς κατὰ φορβάν.

VI. Vide Lexicon in Ἀνταῖον. Ἀραῖον.

ΠΟΛΥΞΕΝΗ.

I. Strabo l. x. p. 721. Ὁ δ᾽ οὖν Σοφοκλῆς ποιήσας τὸν Μενέλαον ἐκ τῆς Τροίας ἀπαίρειν σπεύδοντα ἐν τῇ Πολυξένῃ, τὸν δ᾽ Ἀγαμέμνονα μικρὸν ὑπολειφθῆναι βουλόμενον, τοῦ ἐξιλάσασθαι τὴν Ἀθηνᾶν χάριν, εἰσάγει λέγοντα τὸν Μενέλαον·

Σὺ δ᾽ αὖθι μίμνων τήνδε κατ᾽ Ἰδαίαν χθόνα
ποίμνας Ὀλύμπου συναγαγὼν θυηπόλει.

II. Stobæus Ecl. Phys. p. 129. In Excerptis Grotii, p. 165. Ἀχέρων δὲ καὶ Ἀχερουσία λίμνη ταυτόν, ὡς καὶ Σοφοκλῆς ἐν Πολυξένῃ τοῦ Ἀχιλλέως ψυχὴν εἰσάγει λέγουσαν·

Ὦ τὰς ἀπαίωνάς τε καὶ μελαμβαθεῖς
λιποῦσα λίμνας ἦλθον ἠχούσας γόους,
Ἀχέροντος ὀξυπλῆγος ἄρσενας χοάς.

Nigrum relinquens flumen immedicabile
Acherusiæ paludis accessi vadum
ubi mæsta sævis ripa lamentis sonat.

In primo versu lego ᾧ, *cui*, vel *propter quòd*, relatum ad id quod præcedebat. Vulgo legitur sine ullo sensu ὠ. Reposui μελαμβαθοῦς pro vulgato μελαμβαφοῦς, quarum vocum confusionem breviter attigi ad Æschyli Prometheum 219. Valckenario placuit μελαμφαοῦς, cujus omnino adeunda nota ad Phœnissas p. 367.

III. Idem Florilegii tit. xlix. p. 187.

Οὐ γάρ τις ἂν δύναιτο πρωρατὴς στρατοῦ
τοῖς πᾶσι δοῦξαι καὶ προσαρκέσαι χάριν·
ἐπεὶ οὐδ᾽ ὁ κρείσσων Ζεὺς ἐμοῦ τυραννίδι
οὔτ᾽ ἐξεπομβρῶν, οὔτ᾽ ἐπαυχμήσας, φίλος
βροτοῖς ἂν ἔλθοι γ᾽, εἰ δίκην λόγων ὄφλοι·
πῶς δῆτ᾽ ἐγὼ θνητός τ᾽ ὢν, ἐκ θνητῆς τε φὺς,
Διὸς γενοίμην εὖ φρονῶν σοφώτερος;

Nemo imperator se potest exercitus
jactare cunctis largitate gratiæ:
nec ipse qui me latius regnat Deus,
seu siccat agros, imbre seu fuso rigat,
in jus vocatus omnibus causam probet.
mortalis ergo, matre mortali satus,
quînam Jovem ipsum vincerem prudentia?

Tragici sensum dilucide et eleganter expressit Grotius, sed quem e Græcis ægre elicias. In codice sic scriptus est quintus versus: βροτοῖς ἀνελθὼν ἐς δίκην λόγους ὄφλαι. Judicio damnati Atticis dicuntur ὄφλειν δίκην, quod hîc vix locum habere potest. Aptum sententiæ verbum esset δίκην seu λόγον ὑπέχειν. Ceterum æmulatus est Sophocles Theognidem cujus hæc est sententia:

Ἀστοῖσιν δ᾽ οὔπω πᾶσιν ἁδεῖν δύναμαι.
οὐδὲν θαυμαστὸν, Πολυπαΐδη· οὐδὲ γὰρ ὁ Ζεὺς
οὔθ᾽ ὕων πάντας ἁνδάνει, οὔτ᾽ ἀνέχων.

IV. Schol. Apollonii Rhodii ad ii. 1123.

Ἀπ᾽ αἰθέρος δὲ κἀπὸ λυγαίου νέφους.

V. Ad Polyxenam respexisse videtur Longinus p. 42. editionis Oxon. novissimæ: Ἄκρως δὲ καὶ ὁ Σοφοκλῆς ἐπὶ τοῦ θνήσκοντος Οἰδίπου καὶ ἑαυτὸν μετὰ διοσημείας τινὸς θάπτοντος πεφάντασται, καὶ, κατὰ τὸν ἀπόπλουν τῶν Ἑλλήνων, ἐπὶ τοῦ Ἀχιλλέως προφαινομένου τοῖς ἀναγομένοις ὑπὲρ τοῦ τάφου. Scilicet in hoc dramate inducebatur Achillis umbra, quodque apud Euripidem narratur initio Hecubæ, id Sophocles spectatorum subjecerat oculis.

VI. Vide Lexicon in Ἄπειρος. Ἠκρωτηριασμένοι. Παράρυμα.

ΠΡΙΑΜΟΣ.

Pollux x. 147. Οἰκοδόμου δὲ σκεύη, λῦαι, γλαρίδες, ὡς Σοφοκλῆς ἐν Πριάμῳ. Idem vii. 118. Καὶ λατύπους δὲ, Σοφοκλῆς, ὅπου καὶ ἐργαλεῖα τῶν λατύπων ὀνομάζει λείας καὶ γλαρίδας.

ΠΡΟΚΡΙΣ.

Vide Lexicon in Ἐπιτιμητής.

ΠΡΟΜΗΘΕΥΣ.

Schol. Pindari ad Pyth. v. 35. Σοφοκλῆς δὲ ἐν τῷ Προμηθεῖ, ΤΟΥ ΠΡΟΜΗΘΕΩΣ, θέλων λέγειν τῆς φρονήσεως ἀντέχεσθαι, καὶ μὴ τῆς μεταμελείας.

ΡΙΖΟΤΟΜΟΙ.

I. Macrobius Saturnal. v. 19. Hæc res nonne quæstione digna est, unde Virgilio æneæ falces in mentem venerint? Ponam itaque Virgilianos versus, mox et inde Sophoclis, quos Maro æmulatus est.

Falcibus et messæ ad lunam quæruntur aënis
pubentes herbæ nigri cum lacte veneni.

Sophoclis autem tragœdia id, de quo quærimus, etiam titulo præfert. Inscribitur enim Ῥιζοτόμοι, in qua Medeam describit maleficas herbas secantem, sed aversam, ne vi noxii odoris ipsa interficeretur; et succum quidem herbarum in cados æneos refundentem, ipsas autem herbas æneis falcibus exsecantem. Sophoclis versus hi sunt:

Ἡ δ' ἐξοπίσω χερὸς ὄμμα τρέπουσ'
ὀπὸν ἀργινεφῆ στάζοντα τομῆς
χαλκέοισι κάδοις δέχεται.

Et paulo post:

αἱ δὲ καλυπταὶ
κίσται ῥιζῶν κρύπτουσι τομὰς,
ἃς ἥδε βοῶσ', ἀλαλαζομένη,
γυμνὴ χαλκέοις ἤμα δρεπάνοις.

II. Schol. Apollonii Rhodii ad iii. 1213. Ὅτι δὲ ἡ Ἑκάτη δρυΐνῳ κλάδῳ στέφεται καὶ δράκουσι, καὶ Σοφοκλῆς ἐν Ῥιζοτόμοις παρεισάγει τὸν Χορὸν λέγοντα.

Ἥλιε δέσποτα,
καὶ πῦρ ἱερὸν, τῆς εἰνοδίας
Ἑκάτης ἔγχος, τῷ δι' Ὀλύμπου
πολλὴ φέρεται καὶ γῆς, καίουσ'
ἱερὰς τριόδους, στεφανωσαμένη
δρυσὶ καὶ πλεκτοῖς
ὠμῶν σπείρησι δρακόντων.

O rex Titan, ignisque sacer,
Hecates lumen signantis iter,
fulgens aliis clarius astris,
sacris eadem triviis præses,
quernis foliis et crudorum
spiris redimita draconum.

Nescio quo errore Grotius fragmentum hoc ad Polyxenam retulerit. In scholiis Ms. legitur: τὸ δι' Ὀλύμπου πολλοῦ φέρει καὶ γῆς, καίουσ'—Vide Valckenarii Diatr. Eurip. p. 167.

II. Vide Lexicon in Ἀΐστωσας.

ΣΑΛΜΩΝΕΥΣ Σατυρικός.

De hac fabula videndus Bentleius Epistolæ ad Millium, p. 59.

I. Athenæus p. 487. Καλεῖται δὲ Μάνης, καὶ τὸ ἐπὶ κοττάβου

Nigrum relinquens flumen immedicabile
Acherusiæ paludis accessi vadum
ubi mæsta sævis ripa lamentis sonat.

In primo versu lego ᾧ, *cui*, vel *propter quod*, relatum ad id quod præcedebat. Vulgo legitur sine ullo sensu ὠ. Reposui μελαμβαθοῦς pro vulgato μελαμβαφοῦς, quarum vocum confusionem breviter attigi ad Æschyli Prometheum 219. Valckenario placuit μελαμφαοῦς, cujus omnino adeunda nota ad Phœnissas p. 367.

III. Idem Florilegii tit. xlix. p. 187.

Οὐ γάρ τις ἂν δύναιτο πρωρατὴς στρατοῦ
τοῖς πᾶσι δεῖξαι καὶ προσαρκέσαι χάριν·
ἐπεὶ οὐδ' ὁ κρείσσων Ζεὺς ἐμοῦ τυραννίδι
οὔτ' ἐξεπομβρῶν, οὔτ' ἐπαυχμήσας, φίλος
βροτοῖς ἂν ἔλθοι γ', εἰ δίκην λόγων ὄφλοι·
πῶς δῆτ' ἐγὼ θνητός τ' ἄν, ἐκ θνητῆς τε φὺς,
Διὸς γενοίμην εὖ φρονεῖν σοφώτερος;

Nemo imperator se potest exercitus
jactare cunctis largitate gratiæ:
nec ipse qui me latius regnat Deus,
seu siccat agros, imbre seu fuso rigat,
in jus vocatus omnibus causam probet.
mortalis ergo, matre mortali satus,
quînam Jovem ipsum vincerem prudentia?

Subjicit Athenæus: Κἀν ἄλλοις δὲ τὴν ἄγκυραν Σοφοκλῆς ἰσχάδα κέκληκεν, διὰ τὸ κατέχειν τὴν ναῦν·

Ναῦται δ' ἐμηρύσαντο νηὸς ἰσχάδα.

XLII. Idem l. vii. p. 277.

Χορὸς δ' ἀναύδων ἰχθύων ἐπιῤῥόθει,
σαίνοντες οὐραίοισι τὴν κεκτημένην.

Sic a Poëta hos versus scriptos fuisse opinor in *Achillis Amatoribus*, ubi Peleus narrabat, quo modo Thetide per vim potitus fuisset: et primo quidem describebatur ad litus accedens marina Dea, delphino forte vecta, circumnatante piscium turba, qui dominam caudis adulabant. Facete Sophocleis Athenæus usus est, cujus hæc verba sunt: Πολλῶν οὖν ὄντων τῶν ἰχθύων, οὓς κατὰ τὰς ἑκάςας ὥρας ἐνδαινύμεθα· κατὰ γὰρ τὸν Σοφοκλέα, Χορὸς δ' ἀναύδων ἰχθύων ἐπιῤῥόθει σαίνουσιν οὐραίοισιν, οὐ τὴν κεκτημένην, ἀλλὰ τὰς λοπάδας.

XLIII. Idem l. x. p. 428. Καὶ Σοφοκλῆς ἐν δράματι σατυρικῷ φησὶν ὡς ἄρα,

Τὸ πρὸς βίαν πιεῖν
ἴσον κακὸν πέφυκε τῷ διψῆν βίᾳ.

Bibere nolentem, malum
non lenius est, quam ferre nolentem sitim.

XLIV. Idem l. x. p. 433. Τὸ δίψος γὰρ πᾶσιν ἰσχυρὰν ἐπιθυμίαν ἐμποιεῖ, τὴν περὶ τῆς ἀπολαύσεως. διὸ καὶ Σοφοκλῆς φησί·

Διψῶντι γάρ τοι πάντα προσφέρων σοφὰ,
οὐκ ἂν πλέον τέρψειας ἢ πιεῖν διδούς.

XLV. Idem l. xi. in fragmento a Casaubono edito, p. 783. in Ἀρύβαλλος—λέγουσι δὲ καὶ πρόχουν ἄρυσιν. Σοφοκλῆς·

Κακῶς σὺ πρὸς θεῶν ὀλουμένη,
ἣ τὰς ἀρύσεις ὧδ' ἔχουσ' ἐκώμασας.

Huc pertinet Hesychii glossa: Ἀρύσεις, τὰς ἀπηυσὶ πόσεις. τὰ δὲ αὐτὰ καὶ ἀρυςῆρας καὶ ἀρυςίχους ἐκάλουν.

XLVI. Idem l. xv. p. 688. Καὶ ὁ Σοφοκλῆς δὲ τὰς ἀπολελυμένας τοῦ φόβου πεποίηκε λεγούσας·

Θυμῷ δ' οὐκ ἔτι Φαίδρᾳ χορεύει
τάρβους θυγάτηρ.

Non ultra animo leve subsultat
nata Pavoris.

Trepidationem, τὴν πήδησιν τῆς καρδίας, filiam Pavoris appellat. Est autem φαιδρὰ neutrum plurale adverbii vice, ut in Œd. Col. 319. quod frequentissimum.

XLVII. Etymol. M. p. 601. extrema: Νεῖκος, ἡ φιλονεικία, παρὰ τὸ νέοις ἐοικέναι. ἡ γὰρ φιλονεικία τοῖς νεαροῖς ἁρμόζει. Σοφοκλῆς·

Ὕβρις δέ τοι
οὐ πώ ποθ' ἥβης εἰς τὸ σῶφρον ἵκετο,
ἀλλ' ἐν νέοις ἀνθεῖ τε καὶ φθίνει πάλιν.

Etymologici mendas detersit Piersonus ad Mœrin p. 181.

XLVIII. Clemens Alex. Pædag. iii. p. 286. Ἀφροδίαιτον ἐπονειδίζων νεανίαν ὁ Σοφοκλῆς, λέγει·

Γυναικομίμοις ἐμπρέπεις ἐσθήμασιν.

Verbum est ἐμπρέπεις, perperam ab editoribus pro nomine acceptum: non animadversum errorem in versione retulit Grotius:

Qui mentiuntur feminas amictibus.

XLIX. Idem Strom. v. p. 659.

Καὶ τὸν θεὸν τοιοῦτον ἐξεπίσταμαι,
σοφοῖς μὲν αἰνικτῆρα θεσφάτων ἀεὶ,
σκαιοῖς δὲ φαῦλον κἀν βραχεῖ διδάσκαλον.

Notus mihi iste mos Dei: sapientibus
rimanda verbis fata perplexis canit;
contra, rudes simplicius ac brevius docet.

Duos posteriores versus profert Plutarchus Mor. p. 406. Æque vera videretur sententia, si duabus transpositis vocibus legeretur:

σκαιοῖς μὲν αἰνικτῆρα θεσφάτων ἀεὶ,
σοφοῖς δὲ φαῦλον κἀν βραχεῖ διδάσκαλον.

Sed alterum tuetur auctoritas librorum. In his nihil decerni potest, quum ignoretur a qua persona et qua occasione sententia recitata fuerit.

L. Idem Strom. v. p. 716. et Eusebius P. E. p. 680.

Τὴν τῶδε γάρ τοι Ζεὺς ἔγημε μητέρα,
οὐ χρυσόμορφος, οὐδ' ἐπημφιεσμένος
πτίλον κύκνειον, ὡς κόρην Πλευρωνίαν
ὑπημβρύωσεν· ἀλλ' ὁλοσχερὴς ἀνήρ.
* * * * * * * * *
ταχὺς δὲ βαθμοῖς νυμφικοῖς ἐπεστάθη
ὁ μοιχὸς . . . .
ὁ δ' οὔτε δαιτὸς, οὔτε χέρνιβος θιγὼν
πρὸς λέκτρον ᾖει, καρδίαν δεδηγμένος·
ὅλην δ' ἐκείνην εὐφρόνην ἐθρύπτετο.

Ejus parenti namque nupsit Jupiter,
non flavus auro, non olor pluma nitens,
qualis puellæ junctus est Pleuroniæ,
matremque fecit: ast homo plane integer.
* * * * * * * * *
notus volucrem postibus gressum intulit
adulter . . . .
non dextra lympham, non cibum lingua attigit:

at pectus acri saucius morsu, torum
init, atque Veneri nocte se tota dedit.

E satyrica fabula *Hercule ad Tænarum* versus hi derivati esse videntur: non enim de aliis, quam Herculis natalibus, furtivoque Jovis cum Alcmena concubitu in illis agitur. In ultimo versu Eusebius legit ἱδρύοντο.

LI. Idem p. 722. Justinus de Monarchia, p. 159. edit. Oxon.

Ἔσται γὰρ, ἔσται κεῖνος αἰῶνος χρόνος,
ὅταν πυρὸς γέμοντα θησαυρὸν σχάσῃ
χρυσωπὸς αἰθὴρ, ἡ δὲ βοσκηθεῖσα φλὸξ
ἅπαντα τἀπίγεια καὶ μετάρσια
φλέξει μανεῖσα . . . .
. . . . . ἐπὰν δ' ἄρ' ἐκλίπῃ τὸ πᾶν,
φροῦδος μὲν ἔσται κυμάτων ἅπας βυθὸς,
γῆ δ' ἑδράνων ἔρημος· οὐδ' ἀὴρ ἔτι
πτερωτὰ φῦλα βαστάσει πυρούμενος.
κἄπειτα σώσει πάνθ' ἃ πρόσθ' ἀπώλεσεν.

Nam veniet ille, veniet haud dubie dies,
laxabit ignis quum redundantes opes
auratus æther: lege tum spreta furens
terras et illis quidquid est sublimius
depascet ardor: inde quum defecerit
hoc omne, nulla jam ferent undas vada,
neque ulla ramos eriget tellus, neque
exustus aër pascet aligerum genus.
mox reddet idem cuncta qui exitio dedit.

Hi versus non magis sunt Sophoclis, quam illi qui proxime sequuntur, quorum suppositionem abunde demonstravit Bentleius in Epistola ad Millium. Eos certatim alter alterum describentes a Justino usque omnes allegarunt Christianorum dogmatum vindices. Unum Clementem p. 63. et 717. adire satis fuerit.

Εἷς ταῖς ἀληθείαισιν, εἷς ἐστιν θεὸς,
ὃς οὐρανόν τ' ἔτευξε καὶ γαῖαν μακρὰν,
πόντου τε χαροπὸν οἶδμα κἀνέμων βίας.
θνητοὶ δὲ πολλοὶ καρδίαν πλανώμενοι
ἱδρυσάμεσθα, πημάτων παραψυχὴν,
θεῶν ἀγάλματ' ἐκ λίθων, ἢ χαλκέους,
ἢ χρυσοτεύκτους, ἢ 'λεφαντίνους τύπους·
θυσίας τε τούτοις καὶ καλὰς πανηγύρεις
νέμοντες, οὕτως εὐσεβεῖν νομίζομεν.

Unus profecto est, unus est tantum Deus,
cœli solique machinam qui condidit,
vadumque ponti cærulum et vim spiritus.
at ducta cæco errore gens mortalium
commenta cladis in suæ solatium est
simulacra Divûm facta saxo aut arbore,
vel pondere auri, dente vel Lucæ bovis:
his victimarum sanguinem, his festos dies
quum dedicamus, ea religio creditur.

LII. Idem Strom. ii. p. 494. Εὖ γοῦν ἡ τραγῳδία περὶ τοῦ Ἅιδου γράφει·

Πρὸς δ' οἷον ἥξεις δαίμονα,
ὃς οὔτε τοὐπιεικὲς οὔτε τὴν χάριν
ᾔδει· μόνην δ' ἔστεργε τὴν ἁπλῶς δίκην.
Heu quam severi pectoris visis Deum,
qui gratiæ largitur aut æquo nihil,
sed jure summo semper et ubique utitur.

Auctorem horum versuum Clementi non nominatum, Sophoclem esse testatur Plutarchus in Erotico p. 761. Primi in fine a mala manu additæ voces ὡς ἔρωτα litura emendandæ erant. Grotius substituit ὡς ἀρήρετα: Heathius aliud, ad mentem Latini interpretis.

Quædam apud Clementem leguntur, quæ ille scribendi festinantia et memoriæ lapsu Sophocli falso tribuit. Æschyli versus Choëph. 503. quos in promptu habebat, codice non inspecto, allegavit tanquam Sophoclis, Strom. ii. p. 504. Ibid. iv. p. 574. tragico nostro tribuit sententiam quæ Euripidis est in Œdipo, teste Stobæo Floril. tit. i. Porro p. 726. poëtæ nescio cujus epici hexametros profert duos, e quibus Grotius in Excerptis pravos anapæstos fecit, quos pro Sophocleis nemo agnoscat. Hoc idcirco moneo, ne quis opinetur me imprudentem ista prætermisisse. Heathii, licet in superstitum scenicorum poëtarum lectione valde triti, errores sunt hujus generis non pauci. Sed quis memoria ita polleat, ut quæcunque legerit, simul ac fiunt obvia, statim recordetur apud quem auctorem prius illa viderit? Duo senarii, quos citat Suidas in Ἄξιος λαβεῖν, Euripidis sunt in Medea, 321. Versus quem citat in Ψεῦσον, Aristophanis est in Thesmoph. 870. Proverbium quod in voce Ἀηδὼν inter duas Sophocleas χρήσεις importune insertum fuit ab inepto librario, quodque suo loco juxta literarum seriem legitur, pro Sophocleo fragmento venditari non debebat.

LIII. Plutarchus in Timol. p. 253. Τῶν δὲ Τιμολέοντος ἔργων οὐδὲν ἐστιν, ᾧ μὴ τὰ τοῦ Σοφοκλέους ἐπιφωνεῖν ἔπρεπεν·

Ὦ θεοί, τίς ἄρα Κύπρις, ἢ τίς ἵμερος
τοῦδε ξυνήψατο;

LIV. Idem in Pompeio p. 661. et in libro de Aud. poëtis, p. 65. edit. Grotii:

Ὅς τις δὲ πρὸς τύραννον ἐμπορεύεται,
κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ.
Quicunque regis in domum gressus tulit,
jam servus illi est, liber etsi advenerat.

LV. Idem in Alexandro p. 667. Philippus Alexandrum filium πείθειν ἐπειρᾶτο μᾶλλον ἢ προστάττειν, καὶ τοῖς περὶ μουσικὴν καὶ τὰ ἐγκύκλια παιδευταῖς οὐ πάνυ τι πιστεύων, τὴν ἐπιστασίαν αὐτοῦ καὶ κατάρτυσιν, ὡς μείζονος οὖσαν πραγματείας, καὶ κατὰ τὸν Σοφοκλέα,

Πολλῶν χαλινῶν ἔργον οἰάκων θ' ἅμα,

μετεπέμψατο Ἀριστοτέλην.

LVI. Idem in Demetrio p. 911. Ὁ Σοφοκλέους Μενέλαος ταύτην εἰκόνα ταῖς αὐτοῦ τύχαις παρατίθησι·

Ἀλλ' οὑμὸς αἰεὶ πότμος ἐν πυκνῷ θεοῦ
τροχῷ κυκλεῖται, καὶ μεταλλάσσει φύσιν.
ὥσπερ σελήνης δ' ὄψις εὐφρόνας δύο
στῆναι δύναιτ' ἂν οὔ ποτ' ἐν μορφῇ μιᾷ,
ἀλλ' ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα,
πρόσωπα καλλύνουσα καὶ πληρουμένη,
χὤταν περ αὑτῆς εὐγενεστάτη φανῇ,
πάλιν διαῤῥεῖ, κἀπὶ μηδὲν ἔρχεται.

At mea Deorum vita præcipiti rota
versatur usque et usque alternat vices:
ut illa Phœbi, sidus inconstans, soror
servare vultum nescit in noctes duas;
sed ex latente nascitur primum nova,
majorque pulchriorque paullatim venit:
at ore postquam fulsit integerrimo,
tabescit iterum, denique in nihilum redit.

LVII. Idem in Artaxerxe p. 1025. Καθόλου μὲν ἴσως τὸ Σοφόκλειον·

Ταχεῖα πειθὼ τῶν κακῶν ὁδοιπορεῖ.

Res ad malas consilia festinant gradum.

LVIII. Idem in libro de Aud. poëtis edit. Grotii p. 7.

Ἔργου δὲ παντὸς ἤν τις ἄρχηται καλῶς,
καὶ τὰς τελευτὰς εἰκὸς ἔσθ' οὕτως ἔχειν.

In opere quovis si bonum est primordium,
credibile finem se quoque habiturum bene.

Ibid. p. 17.

Στενωπὸς Ἅδου καὶ παλίῤῥοια βυθοῦ.

Ubi reciprocus gurges, et portæ Inferûm.

Ibid. p. 21.

Τὸ κέρδος ἡδὺ, κἂν ἀπὸ ψευδῶν ἴῃ.

Lucrum omne dulce, licet emas mendacio.

Perperam Grotius in fine senarii dedit ἔῃ. Eamdem sententiam vide in Æthiopibus i. et Electræ in v. 61. quem Heathius inter incerta fragmenta retulit.

Οὐκ ἐξάγουσι καρπὸν οἱ ψευδεῖς λόγοι.

Perferre frugem falsa negat oratio.

Ibid. p. 24.

Γένοιτο κἂν ἄπλουτος ἐν τιμαῖς ἀνήρ.

Honore sæpe et pauper ornari solet.

Οὐδὲν κακίων πτωχὸς, εἰ καλῶς φρονεῖ.

Nihil hoc inops deterior est, bene qui sapit.

Ἀλλὰ τῶν πολλῶν καλῶν
τίς χάρις, εἰ κακόβουλος φροντὶς
ἐκτρέφει τὸν εὐαίωνα πλοῦτον;

Multis honestis quod decus aut nitor,
si prava mentis consilia educant
vitæ creatrices beatæ
divitias?

Ibid. p. 27.

Ὡς τρισόλβιοι
κεῖνοι βροτῶν, οἳ ταῦτα δερχθέντες τέλη

μόλωσ' ἐς Ἅδου· τοῖσδε γὰρ μόνοις ἐκεῖ
ζῆν ἐστι, τοῖς δ' ἄλλοισι πάντ' ἐκεῖ κακά.

Felices nimis,
initia quotquot ista quum conspexerint
eunt ad Orcum. namque eos solos manet
ibi vita; reliquos, miserias præter, nihil.

In fabulæ loco, unde hæc derivata, mentio erat forte τοῦ λειμῶνος τοῦ τοῖς μύσταις ἀνακειμένου, cujus Sophoclem auctorem laudat Scholiastes Comici ad Ranas 347.

Ibid. p. 23. Τυφλὸς γάρ, ὦ γυναῖκες, οὐδ' ὁρῶν Ἄρης
συὸς προσώπῳ πάντα τυρβάζει κακά.

Mars, ô mulieres, cæcus, hirsutæ suis
velut ore frendens cuncta commiscet mala.

LIX. Idem Moral. p. 77. et 619.

Ὅτῳ δ' ἔρωτος δῆγμα παιδικοῦ προσῇ.

Vide Valckenarium ad Phœnissas p. 138.

Ibid. p. 84. Ἡ δὲ παρακοπὴ τὰς ὑπερβολὰς πρότερον καὶ τὰς ὀξύτητας τῶν παθῶν ἀνίησι,

Πρὸς ὧπερ αἱ μεριμνῶντες ὑπτιώτατοι,

κατὰ τὸν Σοφοκλέα. Tragici verba usui suo accommodavit. At is scripserat non ἅπερ, sed οὕσπερ, ὥσπερ, seu πρὸς ταῦτά γ' οἱ—

LX. Idem libro de Fortuna p. 98.

Τὰ μὲν διδακτὰ μανθάνω, τὰ δ' εὑρετὰ
ζητῶ· τὰ δ' εὐκτὰ παρὰ θεῶν ᾐτησάμην.

Discenda disco, et invenienda si qua sunt,
inquiro: voti quæ sunt, a Diis peto.

Ibid. p. 99. Clemens Protreptico p. 78.

Βᾶτ' εἰς ὁδὸν δὴ πᾶς ὁ χειρῶναξ λεὼς,
οἳ τὴν Διὸς γοργῶπιν Ἐργάνην στατοῖς
λίκνοισι προστρέπεσθε.

Turba in viam procedite manuaria,
torvo ore quotquot Erganen satam Jove
vannos ferentes mysticas veremini.

Vide Lexicon in Χειρώναξ et Gatakerum tom. i. p. 493.

LXI. Idem in Consolatione p. 107.

Σὺ δ' ἄνδρα θνητὸν, εἰ κατέφθιτο, στένεις,
εἰδὼς τὸ μέλλον οὐδὲν εἰ κέρδος φέρει.

Quod occubuerit morte mortalis, doles,
nec scis an ipsum hoc non sit olim e re tua.

LXII. Idem in Conjugial. præc. p. 141. Ταῖς Λυσάνδρου θυγατράσιν ὁ τύραννος ὁ Σικελικὸς ἱμάτια καὶ πλόκια τῶν πολυτελῶν ἔπεμψεν. ὁ δὲ Λύσανδρος οὐκ ἔλαβεν, εἰπών· Ταῦτα τὰ κόσμια καταισχυνεῖ μου μᾶλλον ἢ κοσμήσει τὰς θυγατέρας. πρότερος δὲ Λυσάνδρου Σοφοκλῆς τοῦτο εἶπεν·

Οὐ κόσμος, οὐκ, ὦ τλῆμον, ἀλλ' ἀκοσμία
φαίνοιτ' ἂν εἶναι, σῶν τε μαργότης φρενῶν.

Erras, miser, quod istud ornamentum vocas:
probrum est, tuæque mentis insolentia.

LXIII. Idem in Quæst. Rom. p. 280. Διὰ κόρον καὶ πλησμονὴν ἐξυβρίζουσι καὶ βόες καὶ ἵπποι καὶ ὄνοι καὶ ἄνθρωποι, ὥς που καὶ Σοφοκλῆς πεποίηκε·

Σὺ δὲ σφαδάζεις, πῶλος ὡς εὐφορβίᾳ.
γαστήρ τε γάρ σου καὶ γνάθος πλήρης—

Jactaris ut equus pascuo in læto solet:
tibique venter, os quoque est plenum.

LXIV. Idem de EI apud Delphos p. 394.

Οὐ νάβλα κωκύτοισιν, οὐ λύρα, φίλα.

LXV. Idem de Orac. def. p. 414.—Πολλὰ καλὰ τοῦ θεοῦ διδόντος ἀνθρώποις, ἀθάνατον δὲ μηδέν· ὥστε θνήσκειν καὶ τὰ θεῶν, θεοὺς δὲ οὐ, κατὰ τὸν Σοφοκλέα. Senario non admodum eleganti sententiam concluserunt:

Θνήσκει δὲ καὶ τὰ τῶν θεῶν, θεοὶ δ' ἄρ' οὔ.

Non Dii quidem moriuntur, at quæ sunt Deûm.

Verbis suis Tragici sententiam expressit Plutarchus, sed ad versus non respexit, quos a Philostrato conservatos fuisse credidit Gatakerus, non recordatus se eos legisse in Œdipo ad Colonum 607. Est horum sententia prorsus diversa.

Ibid. p. 417.

Οὑμὸς δ' ἀλέκτωρ αὐτὸν ἦγε πρὸς μύλην.

Grotius aliter ac Plutarchus accepit, legendo αὑτὸν, et vertit:

Meus
se sponte pullus ad molam salsam tulit.

LXVI. Idem de Ira cohib. p. 458. Καὶ τὸν Νεοπτόλεμον ὁ Σοφοκλῆς καὶ τὸν Εὐρύπυλον ὁπλίσας, Ἐκόμπασ' ἀλοιδόρητα, φησὶν,

Ἐρρηξάτην ἐς κύκλα χαλκέων ὅπλων.

Ibid. p. 463. Ὁ δὲ Σοφοκλῆς λέγων ὅτι

Τὰ πλεῖστα φωρῶν αἰσχρὰ φωράσεις βροτῶν,

ἄγαν ἔοικεν ἡμῖν ἐπεμβαίνειν καὶ κολούειν. Eumdem senarium laudat rursus in libro de fraterno amore p. 481. Sic eum vertit Grotius:

Deprendere hominum pleraque est vitio obsita.

LXVII. Idem de Animi tranquill. p. 468. Ὥσπερ οἱ Σοφοκλέους ἰατροὶ

Πικρῷ πικρὰν κλύζουσι φαρμάκῳ χολήν.

Amaram amaro remedio bilem lavant.

Sic prolatus senarius in præcedenti tractatu p. 463. tacito auctoris nomine; at in libro de Facie in orbe lunæ p. 923. sic legitur, et quidem, meo judicio, rectius:

Πικρὰν πικροῖς κλύζουσι φαρμάκοις χολήν.

LXVIII. Idem de Garrulitate p. 504. Ὁ μὲν γὰρ Σοφοκλέους Νέστωρ τὸν Αἴαντα τραχυνόμενον τῷ λόγῳ πραΰνων, ἠθικῶς τοῦτο εἴρηκεν·

Οὐ μέμφομαί σε· δρῶν γὰρ εὖ κακῶς λέγεις.

Non culpo te: male faris, at bene rem geris.

Idem senarius rursus occurrit p. 810. Non aliunde traductus videtur, quam e *Syndipnis*.

Ibidem p. 511. Πρῶτον μὲν οὖν ἐν ταῖς τῶν πέλας ἐρωτήσεσιν, σεαυτὸν ἔθιζε σιωπᾶν, μέχρις οὗ πάντες ἀπείπωνται τὴν ἀπόκρισιν.

Οὐ γάρ τι βουλῆς ταὐτὸ καὶ δρόμου τέλος.

ὥς φησιν ὁ Σοφοκλῆς.

Non finis idem consiliis, qui cursui.

LXIX. Idem de Vitioso pudore p. 530. Κακὰ δὲ (ἡ δυσωπία)

θαλάμου καὶ γυναικωνίτιδος ἐπίτροπος· ὥς φησιν ἡ παρὰ τῷ Σοφοκλεῖ μετανοοῦσα πρὸς τὸν μοιχόν·

Ἔπεισας, ἐξέθρεψας.

Suasti, esque id eblanditus.

LXX. Idem Sympos. i. problem. 8.

Βραδεῖα μὲν γὰρ ἐν λόγοισι προσβολὴ
μόλις δι' ὠτὸς ἔρχεται τρυπωμένου,
πόρρω δὲ λεύσσων, ἐγγύθεν δὲ πᾶς τυφλός.

In colloquendo tardus appulsus soni
vix ipsa penetrat aurium foramina:
tuetur aliquid eminus, propius nihil.

Ibid. ii. probl. 5. Καὶ Σοφοκλῆς εἴρηκέ που περὶ τῶν Τρώων, ὡς

Φίλιπποι καὶ κερουλκοί,
σὺν σάκει δὲ
κωδωνοκρότῳ παλαισταί.

Ibid. viii. probl. 9. Τοῦ Σοφοκλέους ἐπὶ τῶν, ὅτε μὴ πρότερον ἦν, ἀπιστουμένων εἰ γέγονε νῦν, οὐ φαύλως εἰπόντος·

Ἅπαντα τἀγέννητα πρῶτον ἦλθ' ἅπαξ.

Sic senarium scribendum esse ostendit Valckenarius Diatr. Eurip. p. 222. Prava est Grotii conjectura, unde nata versio a Sophoclis et Plutarchi sententia prorsus aliena:

Quidquid fit usquam, cœpit aliquando id semel.

Ibid. ix. probl. 14. Ὁ Σοφοκλέους Ὀδυσσεὺς φησὶ Σειρῆνας εἰσαφικέσθαι Φόρκου κόρας ἀθρεῦντες τοὺς Ἅδου νόμους. Sumpta hæc ex Ulyssis sermone in Dramate, ut opinor, Ὀδυσσεῦ ἀκανθοπλῆγι. Operam luderet, qui ex his verbis integros senarios concinnare vellet. Perspicue nihil video, nisi prioris finem:

Σειρῆνας εἰσαφικόμην.

LXXI. Idem in Amatorio p. 758. Ἐνθουσιασμοῦ δὲ τὸ μαντικὸν ἐξ Ἀπόλλωνος ἐπιπνοίας καὶ κατοχῆς· τὸ δὲ βακχεῖον ἐκ Διονύσου,

Κἀπὶ Κορυβάντεσσι χορεύσατε,

φησὶ Σοφοκλῆς.

Ibid. p. 768.

Φίλων τοιούτων οἱ μὲν ἐστερημένοι
χαίρουσιν· οἱ δ' ἔχοντες εὔχονται φυγεῖν.

Tales amicos scilicet qui non habent,
sibi gratulantur; quique habent, optant fugam.

LXXII. Idem in libro An seni sit gerenda resp. p. 792.

Λάμπει γὰρ ἐν χρείαισιν ὥσπερ εὐπρεπὴς
χαλκὸς, χρόνῳ δ' ἀργῆσαν ἤμυσε στέγος—

Namque æs velut decorum splendet usibus,
quum non habitata tempore concidat domus.

Hac comparatione cum alibi utitur Plutarchus, tum in libro de Occulte vivendo p. 1129. ubi pro εὐπρεπὴς minus bene legitur εὐγενής. Ovidius Amorum i. 8. 51.

Æra nitent usu: vestis bona quærit haberi:
canescunt turpi tecta relicta situ.

Ibid. p. 802. Τὴν γὰρ Ἐργάνην οὗτοι μόνον θεραπεύουσιν, ὥς φησι Σοφοκλῆς. Οἱ παρ' ἄκμονι τυπάδι βαρείᾳ καὶ πληγαῖς ὑπακούουσαν ὕλην ἄψυχον δημιουργοῦντες. Ista in senarios digessit, aliisque Sopho-

cleis conjunxit, quæ dedimus supra LX. Gatakerus ibi laudatus ad hunc modum:

Λίκνοισι προσρίπτισθι, καὶ παρ' ἄκμονι
τυπάδι βαρείᾳ τὴν ὕλην ὑπήκοον
πληγαῖς τε πολλαῖς δημιουργεῖτ' ἄψυχον.

Sed præterquam minime apparet ista olim sic continuata fuisse, sunt isti senarii non unam ob mendam Sophocle indigni: solet ille primam in ὕλη producere, et media in ἄψυχος nullibi correpta invenitur.

LXXIII. Idem de Herodoti malign. p. 854. Ἀλλὰ

Δεινὸν τὸ τᾶς Πειθοῦς πρόσωπον,

ὥς φησιν ὁ Σοφοκλῆς.

LXXIV. Idem de Solert. anim. p. 959.

Τιθασὸν δὲ χῆνα, καὶ περιστερὰν
ἐφέστιον οἰκέτιν τε.

Ibid. p. 985. Ἀλλὰ ἡμῖν γε πάλαι τὸ τοῦ Σοφοκλέους δεδογμένον ἐστίν·

Εὖ γὰρ καὶ διχοστατῶν λόγος
σύγκολλα τἀμφοῖν ἐς μέσον τεκταίνεται.

Perperam in impressis legitur συγκολλᾶτ' ἐς μέσον ἀμφοῖν τέτακται. In Valckenarii schedis lectionem e codice enotatam reperio τεκταίνεται, unde in proclivi fuit senarii numeros restituere. Græca male constituit Grotius; verum sententiam eleganter expressit:

Quamvis dissidens sententia
facile jugatur, media si placeat via.

LXXV. Idem in libro contra Epicurum p. 1093. Sophoclis quædam profert a librariis tam male habita, ut non interpretem, sed vatem, desiderent: Μουσομανεῖ δ' ἐλάφθην δ' ἄν, καὶ τῷ ποτὶ δειρὰν, ἔρχομαι δ' ἔκ τε λύρας, ἔκ τε νόμων. Ista emendata dabit forte Wyttenbachius in editione operum Plutarchi moralium, quam avide exspectamus. Si quid interea conjicere licet, ad hunc fere modum scripta olim exstitisse videntur:

Μουσομανεῖ δ' ἐθάλφθην δακέτῳ·
ποτὶ δειράδα
ἔρχομαι ἔκ τε λύρας, ἔκ τε νόμων.

LXXVI. Scriptor vitæ Homeri in Opuscul. mythol. Thom. Gale p. 367. Πάλιν δὲ τὸ Ὁμήρου (Il. γ'. 65.)

Οὔ τοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα,

Σοφοκλῆς παρέφρασεν, εἰπών·

Θεοῦ τὸ δῶρον τοῦτο· χρὴ δ' ὅσ' ἂν θεοὶ
διδῶσι, φεύγειν μηδὲν, ὦ τέκνον, ποτέ.

LXXVII. Homeri Scholiastes ineditus ad Il. τ'. 292. cujus locum protulit Valckenarius ad Phœnissas p. 526. Ἐπιτείνεται τῇ ὄψει τὰ παθήματα. καὶ Σοφοκλῆς·

Ὄψις γὰρ ὤτων κριτικωτέρα πολύ.

In fine senarii codex habet πάντως, Valckenario mutatum in πέλει.

LXXVIII. Eustathius ad Il. φ'. p. 1237. Διαγνωμονοῦντος Ἀχιλλέως ὅτι τε εὐψύχως ἔτι διάκειται, καὶ διερῷ ποδὶ, καθ' Ὅμηρον, ἢ χλωρὸν γόνυ κατὰ Θεόκριτον ἔχων, βαίνει· καὶ οὕτω δίος,

Εἰς ἀλίβαντα καταπεσεῖν αὐτὸν, ζῶντι ποδὶ χρώμενον,

ὥς φησι Σοφοκλῆς.

LXXIX. Idem ad Odyss. ι΄. p. 1538. Λέγει δέ που καὶ Σοφοκλῆς τὸ, Τηροῦντα τοὺς λέγοντας καὶ συνάγοντα τὰς ὀφρῦς καὶ τὰς ἀκάνθας ἐπεγείροντα· εἰπὼν τοῦτο ἰκαῖος ὡς ἀπὸ ἰχθύων, οἳ τὰς ἀκάνθας ὀρθοῦσι καιρῷ θυμοῦ. Fefellit procul dubio memoria Eustathium: quæ tanquam Sophoclis profert, Tragicum minime redolent; Aristophanis potuit esse crediderim. Non raro alios pro aliis auctores laudat Eustathius, ut quum p. 867; ψηφοφορήσαντες καὶ βλακεύοντες e Sophocle profert, quæ sunt Xenophontis. Ὄμνυμι (male pro ἴσμεν) πέδον γῆς p. 436. Sophocli tribuit, quod legitur in Eurip. Medea, 747. Æschyli versum in Agamemnone 278. paramper depravatum Sophocli adscribit p. 1872.

LXXX. Cicero ad Atticum ii. 16. *Cnæus quidem noster jam plane quid cogitet nescio:*

Φυσᾷ γὰρ οὐ σμικροῖσιν αὐλίσκοις ἔτι,
ἀλλ' ἀγρίαις φύσαισι φορβειᾶς ἄτερ.

Grotius vertit:

Non ille modicis tibiis ultra canit,
sed agreste tumidus inflat et sine fibula.

Hos versus, quorum auctorem Cicero non laudat, Sophoclis esse compertum est ex Longino περὶ ὕψους p. 7. editionis Toupii: Γελᾶται ἔτι μᾶλλον τὰ Κλειτάρχου. φλοιώδης γὰρ ὁ ἀνὴρ, καὶ φυσῶν, κατὰ τὸν Σοφοκλέα, Οὐ σμικροῖς μὲν αὐλίσκοις, φορβειᾶς δ' ἄτερ. De tibicinum capistro videndus Salmasius ad Solinum p. 585.

LXXXI. Dionysius Halic. de structura orationis, p. 66. edit. Lond. in 8.

Μύω τι καὶ δέδορκα, κἀξανίσταμαι,
πλεῖον φυλάσσων αὐτὸς, ἢ φυλάσσομαι.

Conniveo, conspicio, consurgo quoque:
nec servor aliis ipse quam servo magis.

LXXXII. Pindari Scholiastes ad Olymp. i. 97.

Λύσω γὰρ, εἰ καὶ τῶν τριῶν ἓν οἴσομαι.

Idem ad Pyth. ii. 125. Οἱ γὰρ Φοίνικες παλιγκάπηλοι. καὶ Σοφοκλῆς·

Ὠνὴν ἔθου καὶ πρᾶσιν, ὡς Φοῖνιξ ἀνὴρ
Σιδώνιος κάπηλος.

Idem ad Pyth. iv. 215.

Χοῖρος γὰρ οὗτός ἐστιν ἀνθρώπου φρενῶν,
ὅπου τὸ τερπνὸν καὶ τὸ πημαῖνον φύει·
δακρυρροεῖ γοῦν καὶ τὰ καὶ τὰ τυγχάνων.

Ibidem 222.

Ὦ γῆ Φεραία χαῖρε, σύγγονόν θ' ὕδωρ,
Ὑπερεία κρήνη, νᾶμα θεοφιλέστατον.

Idem ad Nem. x. 59. Καὶ γὰρ τὸ πρῶτον, ἔσχατον ποτὲ δύναται γενέσθαι, καὶ τὸ ἔσχατον, πρῶτον. κέχρηται καὶ Σοφοκλῆς τῷ ἐσχάτῳ, ἀντὶ τοῦ πρώτου·

Ἔχει γὰρ ἕδραν Ζεὺς ἐν ἐσχάτῳ θεῶν.

Legitur vulgo ἤδη γὰρ ἕδρα.

Idem ad Nem. xi. 7.

Ὦ πρῶρα λαιᾶς ἑστίας.

LXXXIII. Scholiastes Æschyli ad Persas 181.

Ἐδοξάτην μοι δύο γυναῖκ' εἰδέναι.

Ἐντεῦθεν ἔλαβεν ὁ Σοφοκλῆς τὸ

Ἐδεξάτην μοι τὰ δί᾽ ἠπείρω μολεῖν.

Prave scriptum vulgo senarium sic restituit Valckenarius, cujus emendationem protulit Piersonus ad Herodianum p. 435.

LXXXIV. Scholiastes Euripidis ad Orestea 491.

Ὀργὴ γέροντος ὥστε μαλθακὴ κοπὶς
ἐν χειρὶ θήγετ᾽, ἐν τάχει δ᾽ ἀμβλύνεται.

Absurde vulgo legitur κοτὶς, cui aptari non possunt duo sequentia verba: at cultri acies acuitur et obtunditur. κοπὶς reponendum esse jam viderat Valckenarius ad Hippol. p. 240. Hoc nomen aversati videntur librarii; nam ubi ponendum erat in Antig. 602. pro eo scripserunt κόνις, haud minus inepte. Sic etiam apud Lucianum in Asino 40. ubi legendum absque ulla dubitatione, ἐγὼ δὲ τὸ μέλλον ἤδη προορώμενος, κράτιστον ἔγνων τὸ σώζειν ἐμαυτὸν ἐκ τῆς κοπίδος. meliores libri pro κοπίδος habent κονίδος, eodem errore: at deteriores, quos sequuntur impressi, habent καινίδος, quod Græce perito nemini sincerum videri possit. Præterea male legitur posteriore versu θήγει. Grotius lectionis vitium non animadvertit, sed in versione bonam saltem sententiam dedit, licet Græcis, uti legi debent, minus congruam:

Ævi senilis ira, ceu tenuis vapor,
subito excitari, subito et exstingui solet.

Idem ibid. 603.

Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι.

Proverbialis est senarius sine auctoris nomine sæpe citatus. Vide Erasmi Adagia chil. i. cent. iii. 9.

LXXXV. Idem ad Medeam 33. Ἀτιμάσας ἔχει. Ἀττικῶς ἀντὶ τοῦ ἠτίμησε. καὶ Σοφοκλῆς·

Παῖδας μὲν οὓς ἔφυσ᾽ ἀναλώσας ἔχει.

καὶ πάλιν·

Εὐφημίαν μὲν πρῶτα κηρύξας ἔχω.

Horum senariorum prior de Thyeste dictus videtur. Hujus Atticismi exempla in superstitibus Sophoclis fabulis occurrunt permulta, geminumque gemellum in Antig. 22.

LXXXVI. Scholiastes Comici ad Nubes 1162. Λυσανίας πατρῴων μεγάλων κακῶν. λύων τὰς τοῦ πατρὸς ἀνίας—τὸν Σοφοκλέα μυκτηρίζει λέγοντα·

Ζεὺς ἐπὶ νόστον ἄγει.
τὸν νικομάχαν καὶ παυσανίαν
Ἀτρείδαν.

Sic scribenda et digerenda videntur Tragici verba. Conf. Suidam in Λυσανίας.

LXXXVII. Idem ad Aves 1240. Διὸς μακέλλῃ. τοῦτό φησι παρὰ τὸ Σοφόκλειον,

Χρυσῇ μακέλλῃ Ζηνὸς ἐξαναστραφῇ.

LXXXVIII. Idem ad Lysistratam 8. Τοξοποιεῖν τὰς ὀφρῦς. ἀντὶ τοῦ ἐσκυθρωπακέναι. ἀπὸ τοῦ παρακολουθοῦντος. τοιοῦτο γὰρ τὸ πρόσωπον τῶν ἐν μερίμνῃ ὄντων. Ὅμηρος· (Il. ό. 102.)

Οὐδὲ μέτωπον ἐπ᾽ ὀφρύσι κυανέῃσιν ἰάνθη.

καὶ Σοφοκλῆς·

Ὡς ἂν Διὸς μέτωπον ἰανθῇ χαρᾷ.

Confer Suidam in Τοξοποιῶν.

LXXXIX. Philo Judæus tom. ii. p. 448. Τὸν ἀψευδῶς ἐλεύθερον ἀναζητῶμεν, ᾧ μόνῳ τὸ αὐτοκρατὲς πρόσεστι—ἀναφθέγξεται γὰρ ἐκεῖνο τὸ Σοφόκλειον, οὐδὲν τῶν Πυθοχρήστων διαφέρον· Θεὸς ἐμοὶ ἄρχων, θνητῶν δὲ οὐδὲ εἷς. Senarium restituit Grotius.

Ἄρχων δ' ἐμοὶ θεός ἐστι, θνητῶν δ' οὐδὲ εἷς.

Deus imperator, nemo mortalis mihi.

XC. Achilles Tatius Isagoges ad Arati Phænom. cap. i. initio:

Μισῶ γὰρ ὅστις τἀφανῆ περισκοπεῖ.

Occulta qui rimatur, odiosus mihi est.

Idem ibid. ubi de astronomiæ inventoribus: Σοφοκλῆς δέ τις Ἀτρέα τὴν εὕρεσιν ἀναφέρει λέγων· Πᾶς προσκυνεῖ δὲ τὸν στρέφοντα κύκλον ἡλίου, quæ verba ad senarii numeros sic revocavit Grotius:

Στρέφοντα κύκλον ἡλίου πᾶς προσκυνεῖ.

Quisque colit orbem Solis hunc qui vertitur.

XCI. Scriptor vitæ Arati apud Petavium p. 151.

Ἥλιος οἰκτείρειέ με,
ὃν οἱ σοφοὶ λέγουσι γεννητὴν θεῶν,
καὶ πατέρα πάντων.

XCII. Scholiastes Aristidis tom. ii. p. 235. ad hæc verba: Ἀλλ' ἡ μὲν παροιμία καὶ Ὅμηρος φησί] τὸ Ἀλιεὺς πληγεὶς νοῦν ἴσχει, παροιμία· τὸ δὲ Παθὼν δέ τε νήπιος ἔγνω,—Ὁμήρου γὰρ εἰπόντος τὴν ἀρχὴν, ὕστερον εἰς παροιμίαν ἐλήφθη, ὥσπερ καὶ τὸ

Φίλου κακῶς πράξαντος ἐκποδὼν φίλοι,

Σοφοκλέους ὂν, παροιμιῶδες γέγονε.

XCII. Strabo l. vii. p. 452. Σοφοκλῆς λέγει περὶ τῆς Ὠρειθυίας, ὡς ἀναρπαγεῖσα ὑπὸ Βορέου κομισθείη

Ὑπέρ τε πόντον πάντ' ἐπ' ἔσχατα χθονὸς,
νυκτός τε πηγὰς, οὐρανοῦ τ' ἀναπτυχὰς,
Φοίβου τε παλαιὸν κῆπον—

Hi versus e Phineo desumpti videntur.

XCIV. Idem l. xv. p. 1008.

Ὅθεν κατεῖδον τὴν βεβακχιωμένην
βροτοῖσι κλεινὴν Νῦσαν, ἣν ὁ βούκερως
Ἴακχος αὐτῷ μαῖαν ἡδίστην νέμει.

XCV. Stephanus. Αἶα, πόλις Κόλχων—ἔστι δὲ καὶ Θετταλίας ἄλλη, ὧν μέμνηται Σοφοκλῆς· τῆς μὲν προτέρας, λέγων,

Εἰς Αἶαν πλέων.

τῆς δὲ δευτέρας, οὕτως·

Ἔστιν τις Αἶα Θετταλῶν παγκληρία.

XCVI. Idem. Ἀνακτόριον, Ἀκαρνανίας πόλις—τὸ ἐθνικὸν, Ἀνακτόριος, καὶ θηλυκὸν Ἀνακτορία, ἡ γῆ· καὶ Ἀνακτοριεύς. Σοφοκλῆς δέ φησι διὰ διφθόγγου·

Ἀνακτόρειον, τῆσδ' ἐπώνυμον χθονός.

Locus hic perquam mendosus vulgo legitur, in quo Sophoclis senarius plane contrarium illius, quod propositum fuerat, evincit. Nam metri ipsa ratio ostendit Tragicum Ἀνακτόρειον scripsisse, non Ἀνακτόριον.

XCVII. Idem: Ἀρτάκη, πόλις Φρυγίας—τὸ ἐθνικὸν, Ἀρτακηνός· Σοφοκλῆς δὲ Ἀρτακεὺς εἶπε·

Τί μέλλετ' Ἀρτακεῖς τε καὶ Περκώσιοι;

XCVIII. Scholiastes Hesiodi ad Theogon. v. 30.

Καί μοι σκῆπτρον ἔδον, δάφνης ἐριθηλέος ὄζον.

παρόσον ἡ δάφνη ἐνεργεῖ πρὸς τοὺς ἐνθουσιασμούς. Σοφοκλῆς·

Δάφνην φαγὼν ὀδόντι πρῖε τὸ στόμα.

καὶ Λυκόφρων ἐν Κασάνδρᾳ· (6.)

Δαφνηφάγων φοίβαζεν ἐκ λαιμῶν ὄπα.

Male positæ voces ἐν Κασάνδρᾳ errori, quem supra notavi, occasionem dederunt, quo creditus fuit Sophocles tragœdiam fecisse Cassandræ titulo.

XCIX. Dicæarchus de statu Græciæ, p. 16. edit. Jo. Hudson: Αἱ δὲ γυναῖκες τῶν Θηβαίων τοῖς μεγέθεσι, πορείαις, ῥυθμοῖς εὐσχημονέσταταί τε καὶ εὐπρεπέσταται τῶν ἐν τῇ Ἑλλάδι γυναικῶν. μαρτυρεῖ Σοφοκλῆς·

Θήβας λέγεις μοι ταῖς πύλαις ἑπταστόμους,
οὗ δὴ μόνον τίκτουσιν αἱ θνηταὶ θεούς.

C. In Excerptis Ruhnkenii e Stobæi codice Ms.

Ἐπεὶ πέπρακται πᾶν τὸ τοῦ θεοῦ καλῶς,
χωρῶμεν ἤδη, παῖδες, εἰς τὰ τῶν σοφῶν
διδασκαλεῖα μουσικῆς παιδεύματα.
προσλαμβάνειν δὲ δεῖ καθ' ἡμέραν ἀεὶ,
ἕως ἂν ἐξῇ μανθάνειν βελτίονα.
παῖς δ' ὢν κακὸν μὲν δρᾶν τι προῖκ' ἐπίσταται,
αὐτὸς παρ' αὐτῶν μανθάνων ἄνευ πόνου·
τὰ χρηστὰ δ', οὐδ' ἂν τὸν διδάσκαλον λάβῃ,
ἐμνημόνευσεν, ἀλλὰ κέκτηται μόλις.
ταῦτ' οὖν φυλαξώμεσθα, καὶ μοχθητέον,
ὦ παῖδες, ὡς ἂν μήτ' ἀπαιδεύτων βροτῶν
δοκῶμεν εἶναι, κἀποδημοῦντος πατρός.

V. 8. in apographo Ruhnkenii scriptum erat

τὴν χρηστάδ' οὐδ' ἂν τὸν διδακτὸν λάβῃ.

CI. Ex eodem cod. in quo appositus est Dramatis titulus mihi plane incogniti. Sic lemma habent Σοφοκλῆς Φοιωτ.

Νέος πέφυκας· πολλὰ καὶ μαθεῖν σε δεῖ,
καὶ πόλλ' ἀκοῦσαι καὶ διδάσκεσθαι μακρά.
ἀεί τι βούλου χρήσιμον προσμανθάνειν.

CII. Ex eodem cod.

Οὐχὶ παρὰ πολλοῖς ἡ χάρις τίκτει χάριν.

LEXICON SOPHOCLEUM.

LEXICON SOPHOCLEUM

CONTINENS

MULTA EX DEPERDITIS FABULIS FRAGMENTA ET VOCES TAM EX ILLIS QUAM E SUPERSTITIBUS A VETERIBUS GRAMMATICIS ENOTATAS ET EXPOSITAS.

TO A ἀντὶ τοῦ ἂν τίτακται. καὶ ἐν Εὐριπίδῃ ἐν Μηδείᾳ· (795.)

Πράξασ᾽ ἃ μέλλω, καὶ τυχοῦσ᾽ ἃ βούλομαι.

καὶ παρὰ Σοφοκλεῖ· (Œd. Col. 1106.)

Αἰτεῖς ἃ τεύξῃ.—*Suidas*.

ΑΒΑΙ. περὶ τὴν Φωκίδα τόπος, οὗ μαντεῖον Ἀπόλλωνος Ἀβαίου. Σοφοκλῆς. *Hesychius*. Pertinet ad Œd. T. 899. *Eustathius* ad Ἰλ. β΄. p. 278. extrema: Τὴν δὲ ῥηθεῖσαν Ἄβαν Ἡρόδοτος πληθυντικῶς Ἄβας λέγει· ἔνθα καὶ ἱερὸν Ἀπόλλωνος φησὶ πλούσιον. καὶ Σοφοκλῆς δὲ ὁμοίως πληθύνει. παρ᾽ ἐκείνῳ δὲ ὀξύνονται κατά τινα τῶν ἀντιγράφων αἱ Ἀβαί.

ΑΒΕΒΗΛΑ, τὰ ἄβατα χωρία καὶ ἱερὰ, καὶ μὴ τοῖς τυχοῦσι βάσιμα, μόνοις δὲ τοῖς θεραπεύουσι τοὺς θεούς. βέβηλα δὲ ἐλέγετο τὰ μὴ ὅσια, μηδὲ ἱερά. οὕτως Σοφοκλῆς. *Lexicon MS. Sangerm.*

ΑΒΟΛΟΝ ἵππον. Σοφ. Μυσοῖς. *Idem*. Confer *Hesychium* in Ἄβολος.

ΑΒΟΥΛΟΣ, στάσις. Σοφοκλῆς. *Phrynichi Apparat. Sophist.* Ex Œdipo T. 634.

ΑΒΡΩΤΟΣ, ὁ νῆστις, παρὰ Σοφοκλεῖ. *Pollux* vi. 39.

ΑΓΑΖΕΙΣ, ἀντὶ τοῦ θρασύνεις. Σοφοκλῆς. *Lex. MS. Sangerm.*

ΑΓΑΜΗΤΟΣ, ἀντὶ τοῦ ἄγαμος. Σοφ. *Idem.*

ἈΓΑΣΜΑΤΑ, σεβάσματα, ἃ ἄν τις ἀγάσαιτο. Σοφοκλῆς κέχρηται. *Suid.*

ΑΓΕΝΝΗΤΩΝ, δυσγενῶν. *Hesychius*. Pertinet ad Trachin. 61. et Aloadas vii.

Τὸν ΑΓΗΡΩ, Σοφοκλῆς. καὶ Πλάτων τὸν ἀγήρω κόσμον. *Pollux* ii. 14.

ΑΓΚΥΡΑΙ, ἐκ μεταφορᾶς αἱ ἀσφάλειαι. Σοφ. Φαίδρᾳ.

Ἀλλ᾽ εἰσὶ μητρὶ παῖδες ἄγκυραι βίου.

Lex MS. Sangerm. et *Hesychius*. In illo dramatis titulus, in hoc senarius omissus.

ΑΓΛΩΣΣΟΝ Σοφοκλῆς τὸν βάρβαρον ῥονεῖπει. *Poll.* ii. 109. e Trachin. 1060.

ΑΓΝΙΣΑΙ, τὸ θῦσαι, καὶ διαφθεῖραι κατ᾽ ἀντίφρασιν. οὕτως Σοφ. ἐν Ἀμφιαράῳ. *Lex. MS. Sangerm.* et *Hesychius*. In illo dramatis titulus omissus.

ΑΓΝΩΤΑΣ φίλους. ἀγνώμονας, ἀνεπιστήμονας. *Hesych.* ex Œd. T. 677.

ΑΓΟΣ, ἄγνισμα θυσίας. Σοφ. Φαίδρᾳ. *Hesych.*

ΑΓΧΑΖΕ, ἀντὶ τοῦ ἀναχώρει. οὕτως Σοφοκλῆς. *Lex. MS. Sangerm.*

ΑΓΧΗΓΗΣ, ὁ ἐγγύς. Σοφ. Ἀθάμαντι. *Hesych.* apud quem librarii errore legitur ἀγχιερήνης. Vide not. ad El. 89.

ΑΓΩΓΕΥΣ, ὁ ἱμὰς τῶν κυνηγετικῶν κυνῶν. οὕτως Σοφοκλῆς. *Photii Lexicon MS.*

ΑΓΩΝΑΡΧΑΙ, ἀγωνοθέται, ἄρχοντες τῶν ἀγώνων. Σοφοκλῆς. *Suidas* ex Aj. 572.

ΑΓΩΝΟΘΕΤΙΝ (cod. Ἀγωνοθήκην) μοχθηρῶς ἐκάλεσε Σοφοκλῆς τὴν ἀγωνοθεσίαν. *Pollux* iii. 141.

ΑΔΑΓΜΟΣ, ὀδαξησμὸς, ὅπερ ἐςὶ κνησμός. οὕτως Σοφοκλῆς. *Photii Lex. MS.* e Trachin. 770.

ΑΔΑΣΤΑ παρὰ Σοφοκλεῖ ἐν Αἴαντι (54.) τὰ ἀμέριςα, καὶ ἀδιαίρετα. *Etymol. M.* in Δατῶ.

ἈΔΗΜΟΝ, οὐκ ἔνδημον ὄντα. Σοφ. Τυμπανιςαῖς. *Hesych.*

Ἀδικότροπος ἱερεύς, καὶ Ἀδικοχρήματος, ὡς Κράτης. καὶ ΑΔΙΚΟΧΕΙΡΟΣ, ὡς Σοφοκλῆς. *Lex. MS. Sang.*

ΑΔΟΞΑ, παράδοξα, καὶ ἃ οὐκ ἄν τις ἐδέξατο. Σοφ. Ἀκρισίῳ. *Hesych.*

ΑΔΟΞΑΣΤΟΝ, ἀνέλπιςον. Σοφ. Εὐρυσάκει. *Hesych.*

ΑΔΡΕΠΑΝΟΝ, ἄδρεπτον, θεοῖς ἀνακείμενον. Σοφοκλῆς. *Hesych.*

ΑΔΡΥΝΑΙ, ἁδρὸν καὶ μέγα ποιῆσαι. Σοφοκλῆς. *Lex. MS. Sang.*

ΑΔΩΡΑ, κακόδωρα, τὰ ἐπὶ κακῷ διδόμενα. Σοφ. *Suidas* ex Aj. 665.

ΑΕΙΖΩΝ—Σοφοκλῆς δὲ τὴν εὐθεῖαν εἶπεν, Ἀείζως γενεά. *Lex. MS. Sang.*

ΑΕΙΖΩΝ πένθος ἱερεύς, ὡς Σοφοκλῆς, Ἀείζων ἕλκος. *Idem.*

ΑΕΙΡΟΜΑΙ, ἄνω αἴρομαι. Σοφ. Τραχινίαις (216.) *Hesych.*

ΑΕΙΦΟΡΟΣ, εὐθαλής. Σοφ. Τηλέφῳ. *Hesych.*

Ἄελλα, συςροφὴ ἀνέμου. καὶ ΑΕΛΛΑΙ, φωναὶ, παρὰ Σοφοκλεῖ ἐν Φαίδρᾳ. *Etymol. M.*

ΑΕΛΛΑΔΕΣ φωναὶ, παρὰ Σοφοκλεῖ ἐν Φαίδρᾳ. *Etymol. MS. Leydense* citatum a Valckenario ad Eurip. Hippol. p. 291.

ΑΕΛΛΑΔΩΝ ἵππων. ταχέων. Σοφ. Οἰδίποδι Τ. *Hesych.* Ἀελλάδων, ταχέων. *Etymol. M.* Depravata est apud *Suidam* scriptura in Ἀελλώδεις, ἵπποι. Legendum, Ἀελλάδες ἵπποι. αἱ ταχεῖαι. καὶ τοῦτο τραγικόν. Vide notata ad Œd. T. 467.

ΑΕΛΛΟΘΡΙΞ, ποικιλόθριξ· ἢ παρηώρους καὶ συνεχεῖς ἔχουσα τὰς τρίχας. παρὰ τὴν ἄελλαν. Σοφ. Ἰνάχῳ. *Hesych.*

ΑΕΛΠΤΟΝ, ἀνέλπιςον. ἢ σκληρὸν, δυσχερές. Σοφ. *Suid.* ex Aj. 648.

ΑΖΕΙΝ, τὸ ςένειν. Σοφοκλῆς. *Lex. MS. Sangerm.* Lege αἰάζειν.

ΑΖΕΙΩΤΑΙ, ἔθνος τῆς Τρωάδος. Σοφ. Συνδείπνῳ. *Hesych.*

ΑΖΗΣΙΑ. οὕτως ἡ Δημήτηρ παρὰ Σοφοκλεῖ καλεῖται· οἱ δὲ, τὴν εὐτραφῆ. *Lex. MS. Sangerm.*

ΑΘΑΥΜΑΣΤΩΣ. Σοφοκλῆς εἶπεν. *Idem.*

ΑΘΕΜΙΣΤΑ καὶ ἀνόσια δρᾶν, Δείναρχος εἶπε καὶ Σοφοκλῆς. *Idem.*

ΑΘΕΩΣ διέφθαρται. ἀντὶ τοῦ δεινῶς καὶ ἀπαραιτήτως. Σοφ. (Œd. T. 254.) Τῆσδε γῆς ὧδ' ἀθέως διεφθαρμένης. οἷον μηδενὸς θεοῦ ἐπικουρίας παρούσης. *Phrynichi Appar. sophist.*

ΑΘΗΡΟΒΡΩΤΟΝ ὄργανον. τὴν τορύνην, ἢ τὴν ἀθήραν ἀνακινοῦσι. Σοφ.

'Οδυσσεῖ ἀκανθοπλῆγι. *Hesych.* Integer senarius exstat in scholiis ad Odyss. λ'. 127. 'Ο μέντοι Σοφοκλῆς ἀπεδέξατο τῆς ἀθήρας τὸ κίνηθρον, λέγων οὕτως·

"Ωμοις ἀθηρόβρωτον ἔργανον φέρων.

Profert eum Eustathius quoque p. 1675. ubi de forma nominis quædam addit ad grammaticam spectantia.

ΑΘΡΑΚΤΟΣ, ἀτάραχος. καὶ τὸ συνεχύθη, ΕΘΡΑΧΘΗ Σοφοκλῆς λέγει. *Lex. MS. Sang.*

ΑΙΓΛΗ, χιτών. Σοφ. Τηρεῖ. καὶ πέδη παρὰ 'Επιχάρμῳ ἐν Βάκχαις. *Hesych.*

ΑΙΘΥΣΣΕΙΝ, ἀνασείειν. Σοφ. Σίνωνι. *Hesych.*

ΑΙΚΑΛΛΟΝΤΕΣ. σημαίνει τὸ σαίνοντες, ὅπερ οἱ κύνες ποιοῦσιν. ὁ μέν τοι Σοφοκλῆς καὶ ΠΡΟΣΣΑΙΝΕΙΝ. *Phrynichi Appar. sophist.*

ΑΙΜΑ, τὴν μάχαιραν παρὰ Σοφοκλεῖ. *Etymol. M.* 'Ο δὲ Σοφοκλῆς ἐν 'Ηλέκτρᾳ (1394.) Αἷμα τὴν μάχαιραν ἔφη. *Hesychius.* Σοφοκλῆς δ' ἐν 'Ηλέκτρᾳ τὴν μάχαιραν Αἷμα φησίν. *Suidas.*

ΑΙΜΑΤΟΡΡΟΦΟΝ. Σοφοκλῆς·

Τίς ὧδ' ἄνωθεν ἐστὶν ἡ αἱματόρροφος;

Lex. MS. Sangerm.

ΑΙΜΑΤΩΣΑΙ, ἀντὶ τοῦ φονεῦσαι. Σοφ. *Idem.*

ΑΙΜΥΛΟΣ—Πλάτων Αἱμύλος Ἔρως φησὶ, καὶ Σοφοκλῆς. *Idem.*

ΑΙΝΩ, παρίημι, παραιτοῦμαι. καὶ ἐπαινῶ. Σοφ. 'Αλκμαίωνι. *Hesych.* Αἰνῶ, παραιτοῦμαι. Σοφ. *Suidas.*

ΑΙΟΛΗ νύξ. ἤτοι μέλαινα. ἢ ποικίλη διὰ τὰ ἄστρα. Σοφ. Τραχινίαις. (94.) *Hesych.*

ΑΙΟΛΙΖΕΙΝ, τὸ ποικίλλειν. οὕτως Σοφοκλῆς. *Lex. MS. Sangerm.*

ΑΙΡΕΙ, ἀναιρεῖ, φονεύει. Σοφ. *Suidas* e Phil. 437.

ΑΙΣΤΩΣΑΣ, διαχέας καὶ τήξας. Σοφ. 'Ριζοτόμοις.

Κόρην ἀϊστώσας πυρί.

De Jasone, qui Medeam urebat. *Hesych.* ubi male scriptum κόρον.

ΑΙΤΝΑΙΑ πῶλος. ἡ Σικελική. ἡ μεγάλη ἀπὸ μέρους. Σοφ. Οἰδίποδι Κ. (312.) *Idem.*

ΑΙΧΜΟΔΕΤΟΣ, αἰχμάλωτος. Σοφ. Αἰχμαλωτίσιν. *Idem.*

ΑΙΩΝΑ, ζωὴν, βίον. Σοφ. *Suidas* e Trachin. 2.

ΑΚΕΣΤΡΟΝ. Σοφ. Παλαμήδει. *Hesych.*

ΑΚΗΡΥΚΤΟΝ, ἄγνωστον. ἀφανὲς δὲ Σοφ. Θυέστῃ. *Idem.*

ΑΚΛΑΥΣΤΟΣ, παρ' 'Ομήρῳ καὶ Σοφοκλεῖ. *Pollux* ii. 64. Œd. Col. 1708. Antig. 29. 847. El. 912.

ΑΚΛΕΠΤΟΙ, οὐ παραλογιζόμενοι, ἀληθεῖς. Σοφ. Φαίδρᾳ. *Hesych.*

ΑΚΛΗΡΙΑ, ἀντὶ τοῦ ἀτυχία. οὕτως Σοφοκλῆς. *Lex. MS. Sangerm.*

ΑΚΟΛΑΣΤΟΣ ὄχλος, Εὐριπίδης ἔφη. (Hec. 607.) 'Ακόλαστον δὲ στόμα, Σοφοκλῆς. *Idem.*

ΑΚΟΛΟΥΘΙΑ, ἡ ἀκολούθησις. Σοφ. *Idem.*

ΑΚΟΝ, ἀκούσιον. Σοφ. Οἰδίποδι Κ. (977.) *Hesych.* apud quem in Ἄκων post 'Ακόμης duplici menda hæc glossa depravata.

ΑΚΟΣΜΕΙΝ, τὸ μηδὲν ἐν κόσμῳ καὶ τάξει ποιεῖν, ἀλλ' ἀκολασταίνειν. Σοφ. *Lex. MS. Sangerm.*

ΑΚΟΥΕ ΣΙΓΑ. Κρατῖνος.

Ἄκουε σίγα, πρόσεχε τὸν νοῦν, δεῦρ' ὅρα.

καὶ Σοφοκλῆς.

"Ακουε σῖγα· τίς ποτ' ἐν δόμοις βοή;

Idem.

ΑΚΟΥΣΕΙΩΝ, ἀντὶ τοῦ ἀκουσόμενος. Σοφ. *Idem.* Verbum desiderativum, cujus similia multa collegit Piersonus ad Mœridem p. 14.

ΑΚΟΥΣΕΤΗΝ, Σοφοκλῆς ἔφη. Ἀκούεσθαι δὲ Ἀριστοφάνης. *Idem.*

ΑΚΟΥΣΙΑ, τὸ πρᾶγμα. Σοφ.

Ἐξαίρετον τίθημι τὴν ἀκουσίαν.

Idem.

ΑΚΟΥΣΙΜΗ, ἀντὶ τοῦ ἀκουστή. Σοφ.

Σπονδὴ γὰρ ἡ κατ' οἶκον ἐγκεκρυμμένη,
οὐ πρὸς θυραίων οὐδαμῶς ἀκουσίμη.

δύναται καὶ φωνὴ ἀκουσίμη λέγεσθαι. *Idem.*

ΑΚΟΥΣΤΑ, ὡς ἐν τῇ Κρεούσῃ Σοφοκλῆς·

Ἄπελθ', ἄπελθε παῖ· τάδ' οὐκ ἀκουστά σοι.

καὶ Εὐριπίδης δὲ πολλάκις. ὁ μέν τοι Σοφοκλῆς ΑΚΟΥΣΙΜΑ φησί. *Idem.*

ΑΚΡΟΥΧΕΙ. ἄκρον ἔχει. Ἄκροι δὲ, ὄρος τῆς Ἀργείας, ἐφ' οὗ Ἀρτέμιδος ἱερὸν ἱδρύσατο Μελάμπους, καθάρας τὰς Προιτίδας. Σοφ. Ἰφιγενείᾳ. *Hesych.*

ΑΚΡΟΦΥΣΙΟΝ, τὸ τῇ χώνῃ προστιθέμενον. Σοφ. *Lex. MS. Sangerm.*

ΑΚΤΕΝΙΣΤΟΣ. Σοφ. *Pollux* ii. 34.

ΑΚΤΙΤΗΣ λίθος. ἀπὸ τῆς ἐν Πελοποννήσῳ ἀκτῆς. Σοφ. Ἀκρισίῳ. *Hesych.*

ΑΛΑΛΙΑΝ, πονηρίαν, ἀταξίαν. Σοφ. Ἐπὶ Ταινάρῳ Σατ. *Idem.*

ΑΛΕΞΑΙΘΡΙΟΝ, θερμὸν σκέπασμα. Σοφ. Ἀμφιαράῳ. *Idem.*

ΑΛΕΥΣΩ, ἀντὶ τοῦ φυλάξω. Σοφ. *Lex. MS. Sangerm.*

ΑΛΙΝΟΥΣΙ, ἀντὶ τοῦ λεπτύνουσι. Σοφ. *Idem.*

ΑΛΙΤΡΟΣΥΝΗ, ἁμαρτία. καὶ ΑΛΙΤΡΙΑ. Σοφοκλῆς Αἰχμαλωτίσιν λέγει. *Hesych.*

ΑΛΚΑΘΩ καὶ ἀλκάθειν, Σοφοκλῆς καὶ Αἰσχύλος. σημαίνει δὲ τὸ βοηθεῖν. *Lex. MS. Sangerm.*

ΑΛΛΑ, ἀντὶ τοῦ ὅταν. (scr. κἂν) Σοφ. *Idem.*

ΑΛΛΑΧΘΗΤΕ, ἀντὶ τοῦ διαλλάχθητε. Σοφ. *Suidas* et *Lexicon. MS. Sangerm.* Verbum simplex pro composito.

ΑΛΟΓΑ, ἄῤῥητα. Σοφ. Θυέστῃ. *Hesych.*

ΑΛΟΙΜΑΤΑ, χρίσματα. Σοφ. Ἀκρισίῳ. *Idem.*

ΑΛΟΙΜΟΣ. τὰς χρίσεις καὶ τὰς ἐπαλείψεις, ἀλοιμοὺς ἔλεγον. Σοφ. Μαρειὺς ἀλοιμός. ἡ ἐπάνω τῆς τοῦ θαλάμου γωνίας ἐπιοῦσα ἐπάλειψις, καθαπερανεὶ πετάλωσις οὖσα ἐν αὐτῷ. *Etymol. M.* Μαρευὺς dictus ab urbe Cypri Mario, quæ postmodo appellata fuit Arsinoë.

ΑΛΥΒΑΣ (seu potius Ἀλίβας) ὄρος παρὰ Σοφοκλεῖ. ἢ πόλις. οἱ δὲ, λίμνη ἐν Ἰταλίᾳ, καὶ ἐν Τροίᾳ. *Hesych.* ΑΛΙΒΑΣ, νεκρὸς, ἢ ποταμός.—*Idem.* Videtur hoc nomine appellasse Sophocles Inferorum paludem aut fluvium. Vide Fragm. inc. lxxviii.

Πλάτων δὲ καὶ τὸ Ἀλυπήτως ἔφη, ὥσπερ καὶ Σοφοκλῆς ΑΛΥΠΗΤΟΝ. *Pollux* iii. 98. Vide Trach. 168.

ΑΛΥΠΟΝ ἄνθος ἀνίας εἰ θέλοις εἰπεῖν ἐπί τινος πράγματος, ὃ λύπης ἀπαλλάττει, οὕτως ἂν χρήσαιο, ὡς Σοφοκλῆς ἐν τῷ Διονυσιακῷ σατυρικῷ

ἐπὶ οἴνου πρῶτον γευσαμένων τῶν κατὰ τὸν χορὸν Σατύρων· Πόθεν ποτὲ ἄλυπον ὧδε εὗρον ἄνθος ἀνίας; *Lex. MS. Sangerm.* Vide Valckenarii Diatr. Eurip. p. 179.

ΑΛΥΤΟΝ, ἀκατάλυτον, ἀκατάπαυστον. Σοφ. Ἰνοῖ. *Hesych.* Exstat eodem sensu in El. 230.

ΑΛΩΠΗΣ, ὀρχηστής τις. καὶ ΑΛΩΠΕΚΙΑΙ, Σοφ. Μώμῳ. ὅπερ ἐστὶν ἐν σώματι πάθος γινόμενον. *Hesych.*

ΑΛΩΠΟΣ, ἀλωπεκώδης, πανοῦργος. Σοφ. Θυέστῃ καὶ Ἰνάχῳ. οἱ δὲ, ἀφανὴς κατὰ τὴν πρόσοψιν. *Idem.*

ΑΜΑΛΛΑΙ, δράγματα, δέσμαι τῶν ἀσταχύων. Σοφ. Τριπτολέμῳ. *Idem.*

ΑΜΑΡΤΕΙΝ, ἀκολουθεῖν. Σοφοκλῆς δὲ ἐν Φιλοκτήτῃ (231.) ἐπὶ τοῦ ἀποτυχεῖν. *Idem.*

ΑΜΑΣΕΤΑΙ. ἀπὸ τῆς ἀμήσεως. οἷονεὶ σφάξει. Σοφ. Τρωΐλῳ. *Idem.*

ΑΜΒΛΥΣΚΕΙ, ἐξαπλοῖ. κυρίως δὲ ἐπὶ ἀμπέλου. καὶ ἐκτιτρώσκει. Σοφ. Ἀνδρομέδῃ. *Idem.*

ΑΜΗΤΩΡ, κακομήτωρ. Σοφ. Ἠλέκτρᾳ. (1154.) *Idem.*

ΑΜΙΣΘΟΣ, χωρὶς μισθοῦ. Σοφ.

ἄμισθος ὁ ξένος περιέρχεται.

Phrynichi Apparatus sophist. et *Hesych.*

ΑΜΟΡΦΩΤΟΝ, ἀδιατύπωτον. Σοφ. Θυέστῃ τῷ ἐν Σικυῶνι. *Hesych.*

ΑΜΠΥΚΕΣ, τὰ διαδήματα, ἢ χαλινοί, ἢ τροχοί. οὕτως Σοφοκλῆς ἐν Φιλοκτήτῃ, (678.) διὰ τὸ κυκλοτερές. ΑΜΠΥΚΤΗΡΙΑ ΦΑΛΑΡΑ. Σοφ. Οἰδίποδι ἐν Κολώνῳ. (1068.) *Idem.*

ΑΜΥΝΑΣΘΑΙ. Θουκυδίδης μὲν ἀντὶ τοῦ ἀμείβεσθαι· Σιμωνίδης δὲ ἀντὶ τοῦ χάριτας ἀποδιδόναι. Σοφοκλῆς δὲ ἀντὶ τοῦ ἀπαλλάξασθαι. κυρίως γοῦν τὸ ἀμύνομαι ἐπὶ τῶν προηδικημένων, καὶ εἰς μάχην μετὰ τοῦτο κεκινημένων λέγεται. *Bibl. Coislin.* p. 231. *Suidas.*

ΑΜΥΧΝΟΝ, τὸ μὴ μυσαρὸν, ἀλλ' ἁγνὸν καὶ καθαρόν. οὕτω Σοφοκλῆς. γράφεται δὲ καὶ ΑΜΥΧΡΟΝ. *Suidas.* Tertiam formam Sophocle auctore profert, ἀμυγνὸν, mendose, ut opinor. Sic μυσαχνὸς, μυσαχρὸς, ψυδνὸς, ψυδρὸς, de quibus vide doctos viros quos laudavimus ad Theognidem 124.

ΑΜΦΗΜΕΡΟΝ, τὸν ἀμφημερινὸν πυρετόν. Σοφ. Ποιμέσι·

Κρυμὸν φέρων γνάθοισιν ἐξ ἀμφημέρου.

Suidas.

ΑΜΦΙΑΙΝΑ ΚΡΟΥΠΑΛΑ. Σοφ. Αἰχμαλωτίσι·

Πατὴρ δὲ χρύσε' ἀμφίλιν' εἰσδὺς κρούπαλα.

Hesych.

ΑΜΦΙΝΕΙΚΟΣ, περιμάχητος, ἐναντίους ἔχων λόγους. Σοφ. Τραχινίαις. (104. 527.) *Idem.*

ΑΜΦΙΟΝ, ἔνδυμα. Σοφ. Μώμῳ. *Idem.*

ΑΜΦΙΠΛΗΞ, ἑκατέρωθεν πλήσσουσα. Σοφ. Οἰδίπ. Τυρ. (417.) *Idem.*

ΑΜΦΙΠΛΙΞ, περιβάδην. πλίσσεσθαι γὰρ, τὸ βάδην διαβαίνειν· καὶ πλίγμα, τὸ διάστημα τῶν ποδῶν. Σοφ. Τριπτολέμῳ·

Δράκοντε θαιρὸν ἀμφιπλὶξ εἰληφότε.

Etymol. M. ΑΠΕΠΛΙΞΑΤΟ. ἀπεσείσατο, ἀπέφυγεν. πλὶξ γὰρ, τὸ βῆμα· καὶ πλίγματα, τὰ πηδήματα. ἔνθεν καὶ τὸ περιβάδην, ΑΜΦΙΠΛΙΞ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. *Aristoph. Schol. Acharn.* 217. Vid. *Pollucem* ii. 172. et *Kœnium* ad libellum de Dialectis p. 258.

ΑΜΦΙΠΡΥΜΝΟΝ. πλοῖον ἑκατέρωθεν πρύμνας ἔχον. Σοφ. Ἀνδρομέδα. *Hesych.*

ΑΜΦΙΤΕΡΜΩΣ, ἀποτετερματισμένως. Σοφ. Ἀμφιτρύωνι. *Idem.*

ΑΜΦΩΒΟΛΑ, παρὰ Σοφοκλεῖ, αἱ διὰ σπλάγχνων μαντεῖαι. *Eustathius* p. 1405.

ΑΝΑΙΔΕΙΑΣ ΦΑΡΟΣ, χιτών. Σοφ. Ἰνάχῳ. παρὰ τὸ, χλαῖνάν τ' ἠδὲ χιτῶνα τά τ' αἰδῶ ἀμφικαλύπτει. *Hesych.*

ΑΝΑΙΘΥΣΣΩ, ἀνασείω. Σοφ. Σίνωνι. *Idem.*

ΑΝΑΙΤΟΣ, ἀόλαβης καὶ ἀναιτίακτος. Σοφ. *Suidas*, ex Œd. Col. 786. ubi legimus ἄνατος.

ΑΝΑΛΩΣΑΙ, ἀφανίσαι. Σοφ. Ποιμέσιν. *Hesych.*

ΑΝΑΝΤΑ—Σοφοκλῆς δὲ Ἰνάχῳ, τὰ μὴ κεκολλημένα. παρὰ τὸ ἀνῦν, ὅ ἐστι κατακόπτοντα πτίσσειν. *Idem.*

ΑΝΑΡΙΘΜΗΤΟΣ, ἄπειρος. Σοφ. (Aj. 646.) καὶ ἀνάριθμοι, πλεῖστοι, ἄπειροι. *Suidas.*

ΑΝΑΡΚΤΟΝ, ἀνυπότακτον, οὗ οὐδεὶς ἦρξε. Σοφ. Αἰθίοψι. *Hesych.*

ΑΝΑΡΟΙΒΔΕΙ, ἀναρροφεῖ. Αἰσχύλος Σαλαμινίαις, ἀντὶ τοῦ διαπνεῖ. Ὅμηρος δὲ, ἀναπίνει, καὶ ἀναροφήματα ποιοῦντα ἦχον. καὶ Σοφ. ἐν Ναυσικάᾳ, ἀντὶ τοῦ ἀναρρίπτει. *Idem.*

ΑΝΑΣΤΡΕΦΩΝ, ἀρνούμενος. Σοφ. *Idem.*

ΑΝΑΣΤΥΨΑΙ, συγνάσαι. Σοφ. Μώμῳ. *Idem.*

ΑΝΑΤΟΣ, ἀόλαβής. *Idem.* Pertinet ad Œd. Col. 786.

ΑΝΑΧΑΙΤΙΖΕΙ, ἀναπείθει, ἀναχαλινοῖ, ἀνακρούεται, ἀναποδίζει. κυρίως δὲ ἐπὶ τῶν ἵππων. Σοφ. Ἑλένης ἀπαιτήσει. *Hesych.* Ἀναχαιτίζει, αἰτιατικῇ, ἀναποδίζει, ἐγκόπτει. Ἀναχαιτίζειν Σοφ. τὸ ἀπωθεῖν, καὶ ἀντιτείνειν. *Suidas.*

ΑΝΑΨΥΧΟΥΣΑ, ξηραίνουσα, ῥιπίζουσα. Σοφ. *Hesych.*

ΑΝΔΡΟΠΑΙΣ, ἀνδρούμενος ἤδη παῖς, ἢ ἀνδρὸς φρόνησιν ἔχων παῖς. Σοφ. Τρωΐλῳ. *Idem.* Καὶ Σοφοκλῆς ἐπὶ τοῦ Τρωΐλου·

Τὸν ἀνδρόπαιδα δεσπότης ἀπώλεσα.

παῖδα μὲν τῇ ἡλικίᾳ, ἄνδρα δὲ τῷ φρονήματι. *Schol. Pindari ad Pyth.* ii. 121.

ΑΝΕΙΛΕΝ, ἀντὶ τοῦ ἔλαβε. Σοφ. ἐν Αἴαντι. (237.) *Thomas M.*

ΑΝΕΚΤΗΜΑΙ, ἀνείληφα. Σοφ. Κρεούσῃ. *Hesych.*

ΑΝΕΤΩΣ, ἀνατεταμένως. Σοφ. Τυμπανισταῖς. *Idem.*

ΑΝΕΥΦΗΜΗΣΕΙ, ἀνοιμώξει, κατὰ ἀντίφρασιν. Σοφ. Τραχινίαις. (783.) *Idem.*

ΑΝΕΧΕΙΝ, ἄνεσιν ἔχειν. *Idem.* Pertinet ad Œd. T. 174. quod interpreti observatum non fuit.

ΑΝΗΚΕΣ, ἀνῆκον. Σοφ. Αἰχμαλωτίσιν. *Idem.*

ΑΝΘΗΜΕΡΟΝ, σήμερον, αὐτῇ τῇ ἡμέρᾳ. Σοφ. Δανάῃ. *Idem.* Legendum videtur ΑΥΘΗΜΕΡΟΝ.

ΑΝΘΟΒΟΣΚΟΝ, ἀνθοτρόφον. Σοφ. Αἰθίοψι. *Idem.*

ΑΝΘΡΩΣΚΕ, ἄνω θρῶσκε, ὠρχοῦντο. Σοφ. Μώμῳ. *Idem.*

ΑΝΟΡΕΟΣ πόλεμος. ἀνδρεῖος, ὁ πρὸς τοὺς ἄνδρας. Σοφ. Ναυπλίῳ. *Idem.* Τὸν δὲ ἄνοσον, καὶ ΑΝΟΣΗΤΟΝ Σοφοκλῆς. *Pollux* iii. 107.

ΑΝΤΑΙΑΝ, ἔκτοπον, χαλεπήν. Σοφ. Ἀκρισίῳ. ΑΝΤΑΙΑΣ, πολεμίας, ἐχθρᾶς. Σοφ. Πολυΐδῳ. *Hesych.*

ΑΝΤΑΙΡΟΥΣΙΝ, ἀντιλέγουσι. Σοφ. Θυέστῃ. *Idem.* Ubi male scriptum ἀντιροῦσιν.

ΑΝΤΑΡΗΣ νυκτερὶς ὄψισι, φησὶ Σοφοκλῆς. *Suidas.* Locus mutilus, unde nullus sensus elici potest. Vertit tamen Heathius: *Ei opposita Minerva noctuæ oculos habens.* Sane ille Lyncei oculos habebat, qui *Minervam* ibi videret.

ΑΝΤΗΡΕΙΣ, ἀντιθέτους. Σοφ. Ἠλέκτρᾳ. ἀπὸ τῶν ἐρεσσόντων, ὅταν κατ' ἴσον ἐλαύνωσι, καὶ μὴ ἐπὶ θάτερα περιωθῆται ἡ ναῦς. *Hesych.* Pertinet ad v. 89.

ΑΝΤΙΒΟΙΟΝ, ἰσόβοιον. ἀντὶ βοὸς καθαγιαζόμενον. Σοφ. Μελεάγρῳ. *Hesych.*

ΑΝΤΙΠΛΑΣΤΟΝ. Σοφ. Ἰνάχῳ·

Πατὴρ δὲ ποταμὸς Ἴναχος
τὸν ἀντίπλαστον ἔχει νόμον κεκμηκότων.

ἀντὶ τοῦ ἰσόπλαστον, ὅμοιον. *Idem.*

ΑΝΤΙΠΡΩΡΑ, ἀντιπρόσωπα. πρώρα γὰρ, τὸ πρόσωπον. καὶ **ΑΝΔΡΟΠΡΩΡΟΝ**, ἀνδροπρόσωπον. Σοφ. Τραχινίαις. (223.) *Idem.*

ΑΝΤΙΣΤΡΕΦΩ, ἀνταξιῶ. Σοφ. Τυμπανισταῖς. *Idem.*

ΑΟΙΝΟΣ. ὁ μὲν Σοφοκλῆς ἐπὶ τοῦ νήφοντος ἀπὸ οἴνου. δύναται δ' ἄν τις καὶ ἐπὶ τῶν τελέως μὴ γινομένων οἴνου, καὶ ἐπὶ τῶν μὴ ἐχόντων οἶνον. *Phrynichi Appar. sophist.* Œd. Col. 100.

ΑΞΕΣΤΟΥΣ, τραχέας. Σοφ. Σίνωνι. *Hesych.*

ΑΞΥΜΒΛΗΤΟΣ, ὁ ἀσύγκριτος, ὁ καὶ ἀπαράβλητος. ἢ καὶ ᾧ οὐκ ἔστιν ἀπαντῆσαι, ὡς Σοφοκλῆς που φησίν·

Ἄπλαστον, ἀξύμβλητον ἐξεθρεψάμην.

Eustath. p. 1405. **ΑΞΥΜΒΛΗΤΟΝ**, ὃ μηδενὶ ἀπαντᾷν δύνατον, ἢ ἀσυνάντητον. Σοφ. Λημνίαις. *Hesych.*

ΑΟΡΝΟΣ λίμνη—εἶναι δὲ καὶ νεκυομαντεῖον ἐν τῇ Τυρσηνίᾳ λίμνῃ Σοφ. ἱστορεῖ. *Lex. MS. Sangerm.*

ΑΠΑΙΟΛΗΜΑ, ἀποκάθαρμα, ἢ ἀποπάτημα, ἢ ἀποπλάνημα. Σοφ. *Hesych.*

ΑΠΑΛΕΞΑΣΘΑΙ, ἀποφυλάξασθαι. Σοφ. Ἱππόνῳ. *Idem.* Est etiam in Aj. 166.

ΑΠΑΝΘΡΩΠΟΣ, σκληρὸς, ἀνόητος, ἄφρων, ἀνελεήμων. Σοφ. *Idem.*

ΑΠΑΡΘΕΝΕΥΤΟΣ, ἀκέραιος, καθαρά. Σοφ. Ἱππόνῳ. *Idem.*

ΑΠΕΙ, ἀντὶ τοῦ ἀπελεύσῃ. Σοφ. *Suidas.* Œd. T. 431. Antig. 244. Sic ἔξει, Œd. Col. 909. futurum est, *exibis.*

ΑΠΕΙΘΗΣ, ἀνυπότακτος, ἄπιστος. Σοφ. Αἰχμαλωτίσιν. *Hesych.*

ΑΠΕΙΡΟΝΑΣ, ἀπειράτους. Σοφ. Θυέστῃ. *Idem.*

ΑΠΕΙΡΟΣ—λέγει Ὧρος, ὅτι σημαίνει χιτῶνα διέξοδον μὴ ἔχοντα, ὡς παρὰ Σοφοκλεῖ ἐν Πολυξένῃ·

Χιτὼν ἄπειρος ἐνδυτήριος κακῶν.

Etymol. M.

ΑΠΕΝΩΤΙΣΑΝ, ἀπέστρεψαν τὰ νῶτα. Σοφ. Φινεῖ. *Hesych.*

ΑΠΕΠΤΥΣΕ λόγους. ἀπεμύξατο τοὺς λόγους, ἀντὶ τοῦ ἀπεστράφη. Σοφ. Φαίδρᾳ. *Idem.*

ΑΠΕΣΚΗ. τόξον ἀπέσκη. ἔνιοι δὲ, γυμνὰ θήκαις τόξα. Σοφ. Τρωΐλῳ. *Idem.* Tragici senarii initium fuisse videtur, καὶ τόξ' ἀπέσκη—

ΑΠΕΣΤΑΤΕΙ, ἀπεῖχεν, ἀπεχωρίζετο—οὐκ ἀπεστάτει, οὐ παρήλλαττεν. Σοφ. *Suidas* ex Œd. T. 743.

ΑΠΙΣΤΕΙ, ἀπειθεῖ. Σοφ. Αἰθίοψι. *Hesych.*

ΑΠΙΣΤΟΣ, ἀπαράπιστος, ἀπειθής. Σοφ. Τρωΐλῳ. *Idem.*

ΑΠΛΑΚΗΤΟΝ, ἀναμάρτητον. Σοφ. Τραχινίαις. (120.) *Hesych.*

ΑΠΛΗΓΙΣ, τὸ ἁπλοῦν ἱμάτιον, ὅπερ Ὅμηρος ἁπλοΐδα καλεῖ. Σοφ.

τεύχει καλυφθεὶς Θεσσαλικῆς ἀπληγίδος.

Etymol. M.

ΑΠΟΒΑΘΡΑ, ἀποβατηρία, ἡ κλίμαξ νεώς. Σοφ. Μυσοῖς. *Hesych.*

ΑΠΟΔΡΑΣ. οὐκ ἀποδράσας. ὡσαύτως καὶ ἀπέδρας, καὶ ἐπὶ πρώτου τῶν ἑνικῶν καὶ ἐπὶ τρίτου τῶν πληθυντικῶν. οὐκ ἀπέδραν. Σοφ. ἐν Αἴαντι. (167.) *Thomas Mag.*

ΑΠΟΔΡΟΜΟΝ, ἐλαττούμενον τοῖς δρόμοις, ἢ παλίνδρομον, ἢ μετ' ἐπένδον. Σοφ. Ἀκρισίῳ. *Hesych.*

ΑΠΟΘΕΑ, ἄθεα, ἐκτὸς θεῶν. Σοφ. Θυέστῃ. *Idem.*

ΑΠΟΛΩΠΙΣΑΙ. Σοφ. *Pollux* vii. 43.

ΑΠΟΜΟΡΦΑ, ξένα, οὐκ ἐοικότα τοῖς ἤθεσιν. οὕτως Σοφοκλῆς. *Lex. MS. Sangerm.*

ΑΠΟΠΛΗΚΤῼ ποδὶ, μανιώδει. Σοφ. Θυέστῃ Σικυωνίῳ. *Hesych.*

ΑΠΟΣΗΜΗΝΑΙ, ἀντὶ τοῦ δηλῶσαι. Σοφ. Φαίαξιν. *Lex. MS. Sangerm.*

ΑΠΟΣΚΟΛΥΠΤΕ, ἀπολέπιζε καὶ ἀκροκόλουε. φασὶ καὶ τὸν περιτετμημένον τὸ αἰδοῖον, ἀπεσκολυμμένον. Σοφ. Μώμῳ. *Hesych.*

ΑΠΟΣΤΙΒΗΣ, ἀποπεφοιτηκώς. οὐ τὴν αὐτὴν τρίβον στείβων, τουτέστι φοιτῶν. Σοφ. Σκυρίαις. *Idem.*

ΑΠΟΣΥΡΕΙ, ἀποσπᾷ. Σοφ. Μυσοῖς. *Idem.*

ΑΠΟΤΡΟΠΟΝ, ὅ τις ἂν ἀποτρέποιτο. Σοφ. Οἰδίποδι Τυρ. (1313.) *Idem.*

ΑΠΟΦΑΝΘΕΙΣ, ἐν τῷ φανερῷ καταστάς. Σοφ. Ἀκρισίῳ. *Idem.*

ΑΠΟΦΑΝΩΣΑΙ, εἰς τὸ φανερὸν καταστῆσαι. οὕτως Σοφοκλῆς. *Lex. MS. Sangerm.*

ΑΠΥΝΔΑΚΩΤΟΣ, ἀπύθμενος. Σοφ. Τριπτολέμῳ. ἐν δὲ Ἰφιγενείᾳ, πύνδακα, τοῦ ξίφους τὴν λαβὴν ἔφη. *Hesych.* Τὴν δὲ ἀπύθμενον κύλικα ἐν Τριπτολέμῳ Σοφοκλῆς ἀπυνδάκωτον ὠνόμασεν·

Ἀπυνδάκωτος οὐ τραπεζοῦται κύλιξ.

Pollux x. 79. ΠΥΝΔΑΞ. ὁ πυθμὴν παρὰ τοῖς μεθ' Ὅμηρον· ὅθεν παροιμία τὸ

Ἀπυνδάκωτος οὐ τραπεζοῦται κύλιξ.

ἤγουν ἀπυθμένιστος. Σοφοκλῆς δὲ τὴν λαβὴν τοῦ ξίφους, πύνδακα εἴρηκεν, ὥς φησι Παυσανίας. *Suidas.* Ψυχρὸν ἐστι, τὸ ὑπερβάλλον τὴν οἰκείαν ἀπαγγελίαν, οἷον

Ἀπυνδάκωτος οὐ τραπεζοῦται κύλιξ.

ἀντὶ τοῦ, ἀπύθμενος ἐπὶ τραπέζης κύλιξ οὐ τίθεται. τὸ γὰρ πρᾶγμα οὕτω μικρὸν ὂν, οὐ δέχεται ὄγκον τοσοῦτον λέξεως. *Demetrius Phal. de Eloc.* 114.

ΑΠΥΡΟΥ, ἀθύτου. Σοφ. Μυσοῖς. *Hesych.*

ΑΠΩΣΤΟΣ, ἐκδεδιωγμένος. Σοφ. *Suidas* ex Aj. 1019.

ΑΡΑΙΑΣ, βλαβερᾶς. Σοφ. Ἀλκμαίωνι. *Hesych.*

ΑΡΑΙΟΝ, κατάρατον. ὡς τὸ,

Ὁ πρόσθεν ἐλθὼν, ἦν ἀραῖός μοι νέκυς.

οἷον ἀρὰν προσετρίβετο. καὶ κατ' εὐχῆς. Σοφ. Πολυΐδῳ. *Idem.*

ΑΡΑΧΝΗ θηλυκῶς, τὸ ὕφασμα· ἀράχνης δὲ ἀρσενικῶς, τὸ ζωΰφιον.— θηλυκῶς δὲ Σοφ. Ἰνάχῳ·

Πάντα δ' ἐρίθων ἀραχνᾶν βρίθει.

Suidas.

ΑΡΓΕΜΩΝ, τῶν ἐν τοῖς ὀφθαλμοῖς λευκωμάτων. οἱ δὲ, ὀφθαλμιῶν. Σοφ. Ἐπὶ Ταινάρῳ Σατ. *Hesych.*

ΑΡΗ, λύψη, ἄτη. Σοφ. Αἴαντι Μαστιγ. (193.) *Idem.*

ΑΡΗΝΟΒΟΣΚΟΣ. Vide infra Ἐρηνοβοσκός.

Φραδὴς, φραδέως, ἀπὸ τοῦ φράζω. ὡς τὸ, Φραδέος νόου ἔργα τέτυκται. ὅθεν σύνθετον ὁ παρὰ Σοφοκλεῖ ΑΡΙΦΡΑΔΗΣ ἀνήρ. *Eustath.* p. 135.

ΑΡΚΑΣ ΚΥΝΗ. Ἀρκαδικὸς πῖλος. Σοφ. Ἰνάχῳ. *Hesych.* Vide dramatis illius Fragm. viii.

ΑΡΟΤΟΥΣ, τοὺς ἐνιαυτούς. οὕτως Σοφοκλῆς. *Lex. MS. Sangerm.* ΑΡΟΤΟΥΣ, ἐνιαυτούς. Σοφ. Τραχινίαις. (825.) *Hesych.*

ΑΡΠΗΝ, δρέπανον. Σοφ. Κώμῳ Σατυρικῷ. *Lex. MS. Sangerm.*

ΑΡΡΑΓΕΣ ὄμμα, οὐ δακρύον. ᾧ τρόπῳ φαμὲν, κατεῤῥάγη μου δάκρυον. Σοφ. . . . . . Σατυρικῷ. In dramate quodam Satyrico, cujus titulum omisit librarius. *Hesych.*

ΑΡΡΗΤΟΝ, ἄφραστον, ἀνιστόρητον, ἀπόῤῥητον, ἄφωνον, αἰσχρόν. Σοφ. Σίνωνι. *Idem.*

ΑΡΤΑΜΟΣ, χρεουργὸς, μάγειρος. τάττει αὐτὸ Σοφοκλῆς ἐπὶ τοῦ φονέως. *Lex. MS. Sangerm.*

ΑΡΤΑΝΗ, ἡ ἐκ τῶν καλωδίων ἀγχόνη. Σοφοκλῆς δὲ ἐπὶ δεσμοῦ ἐν Ἀντιγόνῃ· (54.) Πλεκταῖσιν ἀρτάναισι. ἀγχόναις. *Etymol. M.* ΑΡΤΑΝΗ, κυρίως μὲν ἡ τῶν καλωδίων ἀγχόνη. Σοφ. δὲ ἐν Αἰχμαλωτίσιν ἐπὶ τοῦ δεσμοῦ. *Lex. MS. Sangerm.*

ΑΡΤΥΜΑΣΙ, τοῖς πρὸς τὴν θυσίαν εὐτρεπιζομένοις. Σοφ. Φινεῖ. *Hesych.*

ΑΡΤΥΜΑΤΑ. οὐχ ἡδύσματα. Σοφ. Φαίαξιν. *Lex. MS. Sangerm.* Ὅτι ΑΡΤΥΜΑΤΑ εὕρηται παρὰ Σοφοκλεῖ· καὶ βορᾶς ἀρτύματα. *Athenæus* p. 67. Vocem tamen minus probant Atticistæ. Vide Mœridem in Ἡδύνει. Quod autem apud Athenæum proxime sequitur, τὸ δὲ ῥῆμα κεῖται παρὰ Σοφοκλεῖ, librarii errore depravatum est. Conjiciebat Valckenarius Athenæum reliquisse παρὰ Σοφίλῳ ἐν Ἀνδροκλεῖ, quæ forte compendiose scripta auctorem Epitomes fefellerunt. Sane ista Ἐγὼ μάγειρος ἀρτύσω σοφῶς e comœdia sunt.

ΑΡΥΘΜΩΝ, ἀσυμφώνων. Σοφ. Αἰγίσθῳ. *Hesych.*

ΑΡΩΜΑΤΑ, ἀροτριάματα. καὶ ἐπὶ τοῦ ἀροῦν τὰ ἄλφιτα οὕτω λέγεται. Σοφ. Ἀκρισίῳ. *Hesych.* Ex literarum serie liquet scribi debuisse ἀρώματα, ut in Comici Pace 1158. ubi ἀρόματα metri lex non admittit.

Αἵματος ἄσαι Ἄρεα. αἵματος κορέσαι τὸ δόρυ· ἢ αἵματι μολῦναι καὶ χρῶσαι αὐτό. ἄση γὰρ, ἡ ῥυπαρία. ὅθεν καὶ ΑΣΑΜΙΝΘΟΣ, ἐν ᾗ τὴν ἄσην μινύθοντες ἐλούοντο. Σοφ. Εὐμήλῳ. *Idem.*

ΑΣΑΛΠΙΚΤΟΝ ὥραν. τὸ μεσονύκτιον. ἑσπέρας γὰρ καὶ ὄρθρου ἐσάλπιζον. Σοφ. Ἀμφιαρίως. *Idem.*

ΑΣΑΣ, βλάψας, ἐκλάψας. Σοφ. Τρωΐλῳ. *Idem.*

ΑΣΕΠΤΟΝ, ἀσεβές. Σοφ. Αἰχμαλωτίσιν. *Idem.*

ΑΣΚΟΠΟΝ, ἄθετον. Σοφ. Αἴαντι Μαστιγ. (21.) *Idem.* ΑΣΚΟΠΟΝ, ἀντὶ τοῦ ἀπροσδόκητον. καὶ ἄσκοπος λώβη, ἀπροόρατος. τουτέστιν ὁ θάνατος. *Suidas.* Pertinet ad El. 864. ΑΣΚΟΠΟΣ, ἀνόητος, ἀπροόρατος. *Hesych.*

ΑΣΟΛΟΙΚΟΝ, ἥμερον, προσηνὲς, οὐ βάρβαρον. Σοφ. Τρωΐλῳ. *Hesych.*

ΑΣΠΑΘΗΤΟΝ χλαῖναν. τὴν δορὰν, παρ' ὅσον οὐχ ὕφανται. *Idem.*

Σπάθη, ὅθεν καὶ τὸ σπαθᾶν, καὶ τὸ ΑΣΠΑΘΗΤΟΣ χλαῖνα παρὰ Σοφοκλεῖ. *Pollux* vii. 36. ex Hesychio emendatus.

ΑΣΤΟΜΟΣ, ὁ μὴ δυνάμενος λέγειν. Σοφ. 'Ακρισίῳ. *Hesych.*

ΑΣΤΡΑΦΗΣ, σκληρός. Σοφ. Μυσοῖς. *Idem.*

ΑΤΕΛΗ, ἀδάπανα, οὐκ ἔχοντα τελέσματα. Σοφ. Θυέστῃ. *Idem.*

ΑΤΙΜΑΓΕΛΗΣ, ὁ ἀποστάτης τῆς ἀγέλης ταῦρος. οὕτως Σοφοκλῆς. *Lex. MS. Sangerm.*

ΑΤΜΗΤΟΝ, ἀμέριστον, ἀτραυμάτιστον. Σοφ. 'Αμφιτρύωνι. *Hesych.*

ΑΤΡΑΚΤΟΣ, κυρίως γυναικεῖον ἐργαλεῖον, ἐφ' οὗ τὸ νῆμα περιειλεῖται. καταχρηστικῶς δὲ καὶ ἐπὶ βέλους. τὸν γὰρ βαλόντ' ἄτρακτον εἶδε Σοφοκλῆς. *Etymol. M.* e Trachin. 714.

ΑΤΩΜΕΝΗ, ἄτῃ συνεχομένη. Σοφ. *Idem.* Pertinet ad Antig. 17. Qui subjiciuntur duo senarii sunt in eodem dramate 313.

ΑΥΘΕΝΤΗΣ, ὁ αὐτόχειρ. ὃ σύγκειται παρὰ τὸ εἶναι, ὅπερ ἐστὶν ἀφεῖναι, καὶ τὸ αὐτό. οἷον ὁ ἀφεὶς ξίφος ἢ ἄλλο τι πρός τὸ ἀποκτεῖναί τινα. Σοφοκλῆς δὲ λύσας τοὔνομα, ΑΥΤΟΕΝΤΗΣ εἶπεν. ἔστι δὲ πολιτικώτερον τὸ αὐθέντης. *Phrynichi Appar. sophist.* e quo notam hanc edidit Stœberus nostras ad Thomam p. 205. Pertinet ad Œd. Tyr. 107. El. 272.

ΑΥΛΩΠΙΝ, αὐλοὺς ἔχουσαν. Σοφοκλῆς δὲ τὴν λόγχην τὴν μακρὰν, αὐλῶπιν εἶπεν. *Hesych.*

ΑΥΤΟΓΝΩΤΟΣ. Σὲ δ' αὐτόγνωτος ὤλεσεν ὀργά. Σοφ. ἀντὶ τοῦ αὐθαίρετος καὶ ἰδιογνώμων τρόπος. *Etymol. M.* ex Antig. 875.

ΑΥΤΟ ΔΕΙΞΕΙ. μέμνηται δὲ τῆς παροιμίας καὶ Σοφοκλῆς ἐν Λημνίαις οὕτως.

Ταχὺ δ' αὐτὸ δείξει τοὔργον, ὡς ἐγὼ, σαφῶς.

Schol. Platonis MS.

ΑΥΤΟΚΤΙΣΤΟΥΣ δόμους. οὐ κατεσκευασμένους, ἀλλ' ἐκ ταυτομάτου γεγενημένους, ἢ τοὺς μὴ ᾠκοδομημένους. Σοφ. Κηδαλίωνι. *Hesych.*

ΑΥΤΟΜΟΙΡΟΣ, μονόμοιρος. Σοφ. Θυέστῃ Σικυωνίῳ. *Idem.*

ΑΥΤΟΜΟΛΩΣ, προδοτικῶς. Σοφ. Φαίδρᾳ. *Idem.*

ΑΥΤΟΝ Σοφοκλῆς ἀντὶ τοῦ ἐμαυτόν. *Lex. MS. Sangerm.*

ΑΥΤΟΠΑΙΔΑ, αὐτὸν τρόπῳ τινὶ παῖδα ὄντα. οὕτως Σοφοκλῆς. *Idem.* Pertinet ad Trachin. 826.

ΑΥΤΟΣΣΥΤΟΝ, αὐτοκέλευστον. Σοφ. Σκυρίαις. *Hesych.* et *Lex. Sangerm.*

ΑΥΤΟΦΟΡΤΟΙ, αὐτοδιάκονοι. κυρίως δὲ, οἱ ἐν τοῖς ἰδίοις πλοίοις. Σοφ. Θυέστῃ Σικυωνίῳ. *Hesych.*

ΑΦΑΝΤΟΝ φῶς. τὸ ἐκ πυρίτου λίθου. Σοφ. Φιλοκτήτῃ. (297.) *Suidas.*

ΑΦΑΡΜΑΚΟΝ χρῶμα Οἰδίποδος. ἄνευ ἄνθους. ἄνθη γὰρ, τὰ φάρμακα. καὶ τὰ βαφεῖα, ΦΑΡΜΑΚΩΝΑΣ Σοφοκλῆς ἔφη. *Hesych.*

ΑΦΕΛΗΣ. Σοφ. Φρίξῳ. *Lex. MS. Sangerm.*

ΑΦΕΨΙΑΣΑΜΗΝ, ἀφωμίλησα. Σοφ. 'Αντηνορίδαις. *Hesych.*

ΑΦΘΙΤΟΥΣ γνώμας, ἀμεταστρέπτους. Σοφ. Μυσοῖς. *Idem.*

ΑΦΟΣΙΩΜΕΝΑΙ, ἀνόσιαι, ἄπωθεν τοῦ ὁσίου γεγενημέναι. Σοφ. Θυέστῃ δευτέρῳ. *Idem.*

ΑΦΡΑΚΤΟΣ, ἀφύλακτος. Σοφ. Αἴαντι Μαστιγ. (910.) *Idem.*

ΑΦΡΑΣΜΩΝ, ἀσύνετος. Σοφ. *Lex. MS. Sangerm.* et *Hesych.*

ΑΦΡΟΔΙΣΙΑ ἄγρα. Σοφ. Δανάῃ.

Γένου τι μήλων, κἀφροδισίαν ἄγραν.

Hesych.

ΑΦΥΛΛΩΤΟΝ πέτραν. ἄπορον, ἄδενδρον. οἷον λεωπετρίαν. Σοφ. Ἰοβάτῃ. *Idem.*

ΑΧΑΛΚΕΥΤΑ τρύπανα. τὰ Φρύγια πυρεῖα. Σοφ. ἐν Φινεῖ δευτέρῳ. *Idem.*

ΑΧΑΝΕΣ, τὸ μὴ ἔχον στέγην, ἢ ὄροφον. ἐπὶ τοῦ λαβυρίνθου Σοφοκλῆς. *Phrynichi Appar. sophist.*

ΑΧΕΙΡΩΤΟΝ Σοφοκλῆς εἶπε τὸ ἀχειρούργητον. *Pollux* ii. 154.

ΑΧΙΛΛΕΙΟΝ πλάκα. τὴν Ἀχιλλέως νῆσον, τὴν Λευκὴν λεγομένην. εἰσὶ δὲ καὶ Ἀχιλλέως δρόμοι περὶ ταύτην τὴν νῆσον. Ἀχιλλείων, Ἀριστοφάνης Ἱππεῦσιν· καὶ ΑΧΙΛΛΙΩΝ Σοφ. Σκύθαις. ἔνιοι δὲ, τῶν λευκῶν. τινὲς δὲ Ἀχίλλειον σπόγγον φασὶν, ᾧ τοὺς ὀφθαλμοὺς ἀποψῶνται. *Hesych.* ΑΧΙΛΛΗΙΔΕΣ, κριθῶν εἶδος, ὧν μέμνηται καὶ Ἀριστοφάνης καὶ Σοφοκλῆς. *Erotianus Lex. Hippocr.* Comici locus quem respiciunt est in Equitibus 819. Κἀκεῖνος μὲν φεύγει τὴν γῆν· σὺ δ' Ἀχιλλείων ἀπομάττει.

ΑΧΝΗΝ Λυδῆς κερκίδος. Σοφ. Αἰχμαλωτίσιν. ἄχνην, τὸ ἄκρον, κατὰ τὴν ἐργασίαν ἄκρως ἔχον. *Hesych.*

ΑΧΡΗΜΑΤΟΝ, ἀδάπανον. Σοφ. Σκυρίαις. *Idem.*

ΑΨΑΛΑΚΤΟΣ, ἀκίνητος, ἀψηλάφητος, ἀκράτητος. Σοφ. Σκύθαις. *Idem.*

ΑΨΑΥΣΤΟΣ, ἐπὶ τοῦ μὴ θίγοντος, μηδὲ ἀψαμένου. Σοφ. *Phrynichi Appar. sophist.* ex Œd. T. 969.

ΑΨΕΦΕΣ, ἀφρόντιστον. Σοφ. Φαίδρᾳ. *Hesych.* et *Lex. MS. Sangerm.*

ΒΑΙΑΙ, μικραί. καὶ βαιὸς, ἰδίως ἀντὶ τοῦ εἷς. Σοφ. (Œd. T. 750.) Πότερον ἐχώρει βαιός; καὶ ἐν Αἰχμαλωτίσιν·

Ἔσπεισα βαιᾶς κύλικος ὥστε δεύτερα.

καὶ αὖθις· (Aj. 292.) Ὁ δὲ εἶπε πρός με βαί'. *Suidas.*

ΒΑΙΟΝ, ὀλίγον, μικρόν. / Σοφοκλῆς δὲ Οἰδίποδι Τυρ. ἀντὶ τοῦ ἄφθονος καὶ πολλός. *Hesych.* Mire depravata hæc glossa. Scripserat forte Grammaticus: Βαιὸν, ὀλίγον, μικρόν. Σοφ. δὲ Οἰδίπ. ἐν Κολωνῷ· (1199.) οὐ βαιὰ, ἀντὶ τοῦ ἄφθονα καὶ πολλά.

Ἡ δὲ **ΒΑΙΤΗ** ἐστι μὲν προμήκης χιτών. οὕτω δὲ Σοφοκλῆς καὶ τὰς σκηνὰς τὰς βαρβαρικὰς καλεῖ. *Pollux* vii. 70.

Παρὰ πολλοῖς δὲ τῶν κωμῳδιοποιῶν ὀνομάζεταί τι μύρον **ΒΑΚΚΑΡΙΣ**— μνημονεύει τῆς βακκάριδος καὶ Σοφοκλῆς. *Athenæus* p. 690.

ΒΑΝΑΥΣΟΣ, κυρίως πᾶς τεχνίτης διὰ πυρὸς ἐργαζόμενος. καταβέβηκε δὲ ἡ λέξις εἰς πάντα χειροτέχνην. Σοφ. (Aj. 1121.)

Οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην.

Etymol. M. e Tragico emendatum.

ΒΑΡΙΣ, κατ' οἰκίας καὶ πλοίου. Σοφ. ἐν Ποιμέσι ΒΑΡΙΔΑΝ λέγει τὸν ναύτην, ἢ τὸν τῆς βάρεως ἐπιβεβηκότα. *Lex. MS. Sangerm.*

ΒΑΣΑΝΟΣ, λίθος ἐστὶν, ἡ τὸ χρυσίον παρατριβόμενον δοκιμάζουσα. οὕτως Ἀντιφῶν, καὶ Πίνδαρος, καὶ Σοφοκλῆς. *Suidas.* Vide infra Ἡρακλεία λίθος.

ΒΑΣΙΛΗ, ἡ βασίλεια. Σοφ. Ἰφιγενείᾳ. *Hesych.*

ΒΑΣΚΑΝΟΣ, φθονερὸς, ἀχάριστος, συκοφάντης. Σοφοκλῆς δὲ ἰδίως τὸ βάσκανον ἐπὶ τοῦ ἀχαρίστου, καὶ ὁ συκοφάντης παρὰ τοῖς ῥήτορσιν. *Hesych.*

ΒΑΥΒΑΝ. Vide infra in Λαπίζειν.

ΒΕΒΗΛΟΣ, ὁ μὴ ἱερὸς τόπος, ἀκάθαρτος καὶ βατὸς πᾶσιν. ὁ βάσιμος πάντι· πρὸς ἀντιδιαστολὴν τοῦ ἀδύτου. λέγεται βέβηλος ἀνὴρ, ὁ μιαρὸς καὶ ἀκάθαρτος, ἢ καὶ ἀμύητος· ἀπὸ τοῦ τόπου· ὁ ἐν ἀνιέροις τόποις ἄξιος διατρίβειν. Σοφ. δὲ ἐν Συνδείπνῳ βέβηλον τὸν ἰδιώτην φησί. *Etymol. M.* e Schol. ad Œdipum Col. 9. emendatum.

ΒΕΡΕΚΥΝΤΑ βρόμον. Φρύγιον αὐλόν. Σοφ. Ποιμέσιν. *Hesych.*

ΒΙΔΗΝ, εἶδος κρούματος. Σοφ. Ἀκρισίῳ·

ὥστ' ἐπιψαλεῖν

βίδην τε καὶ ξυναυλίαν.

ἄλλοι, βίθυν. *Idem.*

ΒΛΙΖΕΙΝ, καὶ Ἀττικῶς βλίττειν, τὸ ἀφαιρεῖν τὸ μέλι ἀπὸ τῶν κηρίων, τουτέστιν ἐκπιέζειν καὶ θλίβειν. Σοφ.

Ἡ σφηκιὰν βλίττουσιν εὑρόντες τινά.

Etymol. MS. Leydense in Excerptis Valckenarii.

ΒΟΙΚΛΕΨ, παρὰ Σοφοκλεῖ, ὁ Ἑρμῆς. *Athenæus* p. 409.

ΒΟΙΩΤΙΟΣ νόμος. ἐπὶ τῶν τὰς μὲν ἀρχὰς ἠρεμούντων, ὕστερον δὲ τοῖς κακοῖς ἐπιτεινομένων, ὥς φησι Σοφοκλῆς·

Ὅταν τις ᾄδῃ τὸν Βοιώτιον νόμον.

Zenobius Proverb. ii. 65.

ΒΟΣΤΡΥΧΟΣ, ὁ πλόκαμος τῆς τριχός. Σοφ. *Etymol. M.* ex El. 901.

ΒΟΥ. ἀντὶ τοῦ, βοός. Σοφ. Ἰνάχῳ. *Lex. MS. Sangerm.*

Ἀριστοφάνης ὁ γραμματικὸς ἐν τῷ περὶ ὀνομασίας ἡλικιῶν λόγῳ, ὅτι κατὰ τὴν δάμαλιν Σοφοκλῆς ἔφη, Γηγενῆ ΒΟΥΒΑΛΙΝ. *Eustath.* p. 1625.

ΒΟΥΠΡΩΡΟΝ—σημαίνει δὲ καὶ τὸν βουπρόσωπον. *Hesych.* Pertinet ad Trach. 13.

ΒΡΑΒΕΥΣ, ὁ βραβευτής. Σοφ. ἐν Ἠλέκτρᾳ (690.) ἔτι δὲ ἀγωνοθέτης, ὁ τὰ βραβεῖα τοῖς νικῶσι διδούς. *Thomas Mag.*

ΒΡΑΧΙΣΤΟΝ, βραχύτατον. Σοφ. Δανάῃ. *Lex. MS. Sangerm.*

ΒΡΙΑΚΧΟΣ, θηλυκῶς ἡ βάκχη, ἡ βριαρῶς ἰακχάζουσα. Σοφ. Ἔχω δὲ χερσὶν ἀγρίαν βρίακχον. *Etymol. M.*

ΒΡΥΑΖΟΥΣΗΣ λιμνης. ἐν Ἀθάμαντι. ἀκμαζούσης, ἢ βρυούσης. *Hesych.* Incertum utrum ad Æschyli an ad Sophoclis drama hoc pertineat.

ΒΥΔΟΙ, οἱ μουσικοί. ἢ κροῦμά τι. Σοφ. Κρίσει. *Hesych.*

ΒΩΛΟΝΑΙ. οἱ μὲν, κολώνας· οἱ δὲ, τὸ Κίλλαιον ἀκούουσι, διὰ τὸ ἀνακεχῶσθαι, παρὰ Σοφοκλεῖ. *Idem.*

ΓΕΡΩΝ, παλαιός. λέγει δὲ, φασὶ, καὶ Σοφοκλῆς πληθυντικῶς· Σὺ γὰρ γέροντα βουλεύεις. ἤγουν παλαιά, ἀρχαῖα. *Eustath.* p. 1923.

ΓΛΟΙΑΣ, ἡ κακοήθης ἵππος καὶ πολυδίκη, παρὰ Σοφοκλεῖ. καὶ γλοιός, τὸ αὐτό. *Hesych.* Corrupta hæc sunt. γλοιώδης ἵππος si dixit Sophocles, significationem arcessere malim a nomine γλοιός, quo utitur Comicus Nub. 448. intelligamque de equo lapsui obnoxio.

ΓΝΩΜΩΝ, συνετός. Σοφ. *Hesych.*

ΓΝΩΣΤΟΣ, ἀντὶ τοῦ γνώριμος. Σοφ. Ἑρμιόνῃ. *Lex. MS. Sangerm.*

ΓΟΡΓΑΔΩΝ, ἁλιάδων Δαιδάλῳ Σοφ. *Hesych.*

ΓΡΑΙΚΟΥΣ. Vide infra in ΡΑΙΚΟΥΣ.

Ὀνοματοποιΐα κατ' ἐναλλαγήν. ὡς τὸ παρὰ Σοφοκλεῖ.

Οἱ γὰρ ΓΥΝΑΝΔΡΟΙ καὶ λέγειν ἠσκηκότες.

ἀντὶ τοῦ ἀνδρόγυνοι. Tryphon. MS. περὶ τρόπων.
ΔΑΙΜΟΝΙΖΕΣΘΑΙ. Σοφ. Δανάῃ. *Lex. MS. Sangerm.*
ΔΑΙΣ, ἡ δι' ἱερῶν εὐωχία. Σοφ. Τριπτολέμῳ.

Ἦλθεν δὲ Δαὶς θάλεια πρεσβίστη θεῶν.

Hesych. Senarium vertit Grotius:

Accessit huc Daps, quæ Deûm antiquissima est.

ΔΕΑΤΟΣ, δόξης. Σοφ. Κηδαλίωνι. *Idem.*
ΔΕΛΗΤΙΟΝ, τὸ δέλεαρ. Σοφ. Ἔχει τὸ δελήτιον. ἢ Σώφρων. *Etymol. M.* Sophronis potius quam Sophoclis esse videtur.
ΔΕΡΜΙΣΤΗΣ. Δίδυμος μὲν ἀποδίδωσι τὴν σκώληκα οὕτω λέγεσθαι τῷ Σοφοκλεῖ ἐν Νιόβῃ. Ἀρίσταρχος δὲ τὸ Σοφόκλειον ἐξηγούμενος, τὸν ὄφιν ἀπέδωκε. μή ποτε δὲ μᾶλλον ἂν ὅστις τὰ δέρματα ἐσθίει, δερμιστής. *Harpocration.*
ΔΗΜΟΚΟΙΝΟΣ, δημόσιος βασανιστής· ἢ ὁ δήμιος, ἤγουν ὁ ἐκ τοῦ δήμου εἰς τὸ φονεύειν κληρωθείς. Σοφ.

Οἷος γὰρ ἡμῖν δημόκοινος οἴχεται.

Etymol. M.
ΔΙ' ΟΥΔΕΝΟΣ ποιεῖσθαι τόνδε. Σοφ. *Phrynichi Appar. sophist.* Pertinet ad Œd. Col. 584.
ΔΙΨΙΑ ΚΟΝΙΣ, ξηρά. *Hesych.* Pertinet ad Antig. 429.
ΔΙΩΚΤΟΣ παρὰ Σοφοκλεῖ, ὁ ἀνὴρ φυγάς, τραγικῶς. *Pollux* ix. 158.
ΔΡΑΚΑΥΛΟΣ. Σοφ. Τυμπανισταῖς. ἐπεὶ ἡ Ἀθηνᾶ δοκεῖ παρ' αὐταῖς αὐλίσαι τὸν δράκοντα ταῖς Κέκροπος θυγατράσιν. ἢ ὅτι συναυλίζονται κατὰ τὸ εἰκὸς Κέκροπι ἔτι διφυεῖ. ἢ ὅτι συναυλίζεται μία τῷ ἐν τῇ ἀκροπόλει δράκοντι, προσημερεύουσα τῇ θεῷ. *Etymol. M. Suidas. Hesych.*
ΔΡΑΚΟΝΤΑ, τὸ κηρίκιον. Σοφ. Φιλοκτήτῃ. *Hesych.*
ΔΡΟΠΑ, δρεπτά. Σοφ. Παλαμήδει. *Idem.*
ΔΡΥΟΠΑΓΗ σόλον. τὸν πάσσαλον. Σοφ. Φιλοκτήτῃ. *Idem.*
ΔΥΣΑΛΓΗΤΟΣ, ἀσυμπαθής. *Suidas* ex Œd. T. 12.
ΔΥΣΑΥΛΟΣ, δυσαύλιστος. Σοφ. Ἀλεξάνδρῳ. *Hesych.* Est etiam in Antig. 357.
ΔΥΣΘΥΜΙΑ. Σοφ. Τυροῖ. *Lex. MS. Sangerm.*
ΕΓΓΕΛΩΣΑ, καταγελῶσα. *Hesych.* Pertinet ad El. 807.
ΕΓΚΑΤΑΖΕΥΞΑΣ, συνθείς, συναρμόσας. Σοφ. (Aj. 736.) *Suidas.*
ΕΓΚΟΤΗΜΑ, ὀργή, μανία. εἰ μὴ ἄρα ἰσοδυναμεῖ τῷ κότῳ. καὶ ΕΝΕΚΟΤΟΥΝ παρὰ Σοφοκλεῖ. *Hesych.*
ΕΓΧΟΣ, τὸ δόρυ. ἱστέον ὅτι ἔγχος καὶ ξίφος καὶ δόρυ τὸ αὐτὸ οἶδεν Ὅμηρος. ὁ δὲ Σοφοκλῆς τὴν σφαῖραν ἔγχος κέκληκεν, οἷον· Τὸ δ' ἔγχος ἐν ποσὶν κυλίνδεται. καὶ τὸ πῦρ, οἷον· Ἔγχος ἱέμενον. τὸ τὴν ὁρμὴν ἔχον. *Etymol. M.* Posterius pertinet forte ad Ῥιζοτόμων Fragm. ii.
ΕΔΟΣ, οὐ μόνον τὸ ἔδαφος, ἀλλὰ καὶ ἡ εἰκών. Σοφ. ἐν Ἠλέκτρᾳ. (1374.) *Thomas Mag.*
ΕΙΚΑΘΕΙΝ, εἴκειν, κατὰ παραγωγήν. *Suidas* e Schol. ad Œd. Col. 1178. ΕΙΚΑΘΕΙΝ, ὑποχωρεῖν, ὑπείκειν. Σοφ. (El. 1014.) *Idem.*
ΕΙΣ ΟΡΘΟΝ φρονεῖν. ἀντὶ τοῦ, καλῶς φρονεῖν. Σοφ. Τριπτολέμῳ. *Lex. MS. Sangerm.*

ΕΚΒΑΒΑΞΑΙ, ἐκσαλεῦσαι. Σοφ. ἐν Ἀντηνορίδαις. *Hesych.*

ΕΚΚΕΚΩΠΗΤΑΙ, ἐξήρτυται. Σοφ. Συλλόγῳ. *Idem.*

ΕΚΠΕΛΕΙ, ἔξεστιν. *Idem.* Pertinet ad Antig. 478. quod jamdudum observatum fuerat Gatakero Opp. tom. i. p. 526.

Διφορεῖται ΕΚΤΟΠΟΣ, ΕΚΤΟΠΙΟΣ, ὁ ἄμορφος παρὰ Σοφοκλεῖ. *Philemon Grammaticus MS.*

ΕΛΑΙΑΕΣΣΑ νηδύς. Σοφ. Ὀδυσσεῖ ἀκανθοπλῆγι. ἤτοι ΛΑΙΑΕΣΣΑ, ἀντὶ τοῦ σκαιά, ἀγρία. ἢ ἀπὸ τοῦ ληΐζεσθαι, πάντα ληϊζομένη καὶ κατεσθίουσα. ἢ ἀπὸ τοῦ ἐλαίου, λιπαρά. *Hesych.*

ΕΛΑΙΟΥΤΑΙ θρίξ. Σοφ. Τρωΐλῳ. Ἀρίσταρχος, ῥυπαίνεται. βέλτιον δὲ, λαμπρύνεται. *Idem.*

ΕΛΚΗ, λῦπαι. Σοφ. Τριπτολέμῳ. *Idem.*

ΕΛΛΑΣ, ὁ ἀνήρ. Σοφ. Αἴαντι Λοκρῷ. *Lex. MS. Sangerm.*

ΕΛΥΜΝΙΟΝ. Καλλίστρατός φησι τόπον εἶναι Εὐβοίας. Ἀπολλώνιος δὲ ναόν φησιν εἶναι πλησίον Εὐβοίας. ΝΥΜΦΙΚΟΝ δέ τινες αὐτό φασιν, ὅτι ὁ Ζεὺς τῇ Ἥρᾳ ἐκεῖ συνεγίνετο. μέμνηται καὶ Σοφοκλῆς· Πρὸς πέτραις Ἐλυμνίαις. καὶ ἐν Ναυπλίῳ· Νυμφικόν τ' Ἐλύμνιον. *Schol. Comici ad Pacem* 1126.

Τοὺς ΕΛΥΜΟΥΣ αὐλοὺς, ὧν μνημονεύει Σοφοκλῆς ἐν Νιόβῃ τε καὶ Τυμπανισταῖς, οὐκ ἄλλους τινὰς εἶναι ἀκούομεν ἢ τοὺς Φρυγίους. *Athenæus* p. 176.

ΕΛΥΤΡΟΝ, κάλυμμα, ἐκπέτασμα, ἐνείλημα. ὁμοίως καὶ ἡ θήκη τοῦ τόξου. καὶ πληθυντικῶς Σοφ. ΕΛΥΤΡΑ. *Etymol. M.*

ΕΜΑΣΧΑΛΙΣΘΗ. Σοφ. ἐν Ἠλέκτρᾳ (445.) ἔθος ἦν τοῖς ἀρχαίοις, ὁπότε φονεύσειαν ἐξ ἐπιβουλῆς τινα. τὸ ἔργον ἀφοσιουμένοις, ἀκρωτηριάζειν τὸν νεκρὸν, καὶ τῶν μορίων ὁρμαθὸν ποιήσαντας, κρημνάσαι κατὰ τοῦ τραχήλου καὶ τῶν μασχαλῶν διείροντας. ἀφ' οὗ δὴ καὶ ΜΑΣΧΑΛΙΣΜΑΤΑ προσηγόρευσαν αὐτά. Σοφ. ἐν Τρωΐλῳ Πλήρη μασχαλισμάτων εἴρηκε τὸν φονεύσαντα. *Suidas.*

ΕΜΠΕΡΑΜΟΣ, ἔμπειρος. Σοφ. Ὀδυσσεῖ μαινομένῳ. *Hesych.*

ΕΜΠΛΕΥΡΟΥ, ἐνάλλου εἰς τὰς πλευράς. Σοφ. Αἰχμαλωτίσιν. *Idem.*

Μέρη δὲ κλίνης καὶ ΕΝΗΛΑΤΑ. Σοφ. ἐν Ἰχνευταῖς Σατ. ἔφη· Ἐνήλατα ξύλα τρίγομφα διατορεῦσαί σε δεῖται. *Pollux* x. 34. Corrupta Tragici verba varie et frustra tentata.

ΕΝΘΡΙΑΚΤΟΣ, ἐνθουσιῶν. καὶ ἐνθέακτος. Σοφ. Σίνωνι. *Hesych.*

ΕΝΟΛΜΙΣ. ἦν τι γένος μάντεων οὕτω καλούμενον, διὰ τὸ τοὺς ἐν ὅλμῳ κοιμηθέντας, μαντικοὺς γίνεσθαι. ὅλμοι δὲ λέγονται, οἱ τρίποδες τοῦ Ἀπόλλωνος. ὅθεν καὶ παροιμία· Ἐν ὅλμῳ εὐνάσω. ὁ δὲ Σοφοκλῆς, ΕΝΟΛΜΙΟΣ, ἀντὶ τοῦ μαντικός. *Etymol. M.* Confer Zenobium Proverb. iii. 63.

ΕΝΟΠΑΙΣ, ἐνωτίοις. τῇ προσῳδίᾳ ὡς διόπαις. Σοφ. Αἰχμαλωτίσιν. *Hesych.* ΕΝΟΠΑΙΣ, τοῖς ἐνωτίοις. ἀπὸ τοῦ ταῖς τῶν ὤτων ὀπαῖς ἐπικεῖσθαι. Σοφ. *Etymol. M.* Perperam apud Hesych. Ἐνώταις.

Τοῖς δὲ δεσπόταις, τῷ μὲν ἀνδρὶ καὶ λάσανα ἀναγκαῖα, καὶ ἀμὶς, ἣν καὶ Σοφοκλῆς ἐν Πανδώρᾳ ΕΝΟΥΡΗΘΡΑΝ καλεῖ. *Pollux* x. 44. Ἀμὶς, σαμνίον, ᾧ ἐνουροῦσι. Σοφ. δὲ ἐν Πανδώρᾳ ΕΝΟΥΡΗΘΡΟΝ καλεῖ· Αἰσχύλος δὲ, οὐράνην. *Lex. MS. Bibl. Regiæ.*

ΕΝΣΤΑΤΗΣ. Τὸ ἐνικλᾶν Ἀριστοφάνης ἀντὶ τοῦ ἀντιλέγειν φησί. τὴν γὰρ ἐν πρόθεσιν ἀντὶ τῆς ἀντὶ εὑρίσκει, ὡς παρὰ Σοφοκλεῖ ἐν Αἴαντι· (104.) Τὸν σὸν ἐνστάτην λέγω. ἀντὶ τοῦ ἀντιστάτην. Ὦρος. *Etymol. M.*

ΕΝΣΤΕΡΝΟΜΑΝΤΙΑΙΣ, ἐγγαστριμύθοις. Σοφ. Αἰχμαλωτίσιν. *Hesych.*

ΕΝΤΕΛΛΩ, ἀντὶ τοῦ ἐντέλλομαι. Σοφ. Θυέστῃ. *Lex. MS. Sangerm.*

ΕΞΑΛΥΞΩΜΑΙ, φυλάξωμαι. Σοφ. Αἴαντι μαστιγ. *Hesych.* Pertinet ad v. 656.

ΕΞΟΡΜΕΝΙΖΩ. Vide in Ὄρμενος.

Ἀττικῶς μὲν ἔξπουν καὶ ἔξκλινον λέγεται, ὥσπερ καὶ παρὰ Σοφοκλεῖ ΕΞΠΗΧΥΣΤΙ. *Philemon Grammaticus MS.* Confer Etymol. M. in Ἐξάκλινον, p. 346.

ΕΠΑΙΝΟΥΣ, τὰς κρίσεις, καὶ τὰς συμβουλίας, καὶ τὰς ἀρχαιρεσίας. Σοφ. Θυέστῃ Σικυωνίῳ. *Hesych.*

ΕΠΑΛΛΑΧΘΕΙΣΑ, ἐπαλλάξασα. Σοφ. Κολχίσιν. *Idem.*

ΕΠΕΙΚΑΖΩ, στοχάζομαι. Σοφ. (El. 663.) *Suidas.*

Ἔστι καὶ ὁ ΕΠΕΝΔΥΤΗΣ ἐστὶν ἐν τῇ τῶν πολλῶν χρήσει, ὅστις, βούλοιτο καὶ τούτῳ τῷ ὀνόματι βοηθεῖν φαύλῳ ὄντι, ληπτέον αὐτὸ ἐκ τῶν Σοφοκλέους Πλυντριῶν·

Πέπλους τε νῆσαι, νεοπλυνεῖς τ' ἐπενδύτας.

Pollux vii. 45. ubi legitur τινίσαι. Gatakerus Miscell. p. 496. emendabat ἐκπινίζειν. Præstat id quod post Canterum et Bentleium dedimus.

ΕΠΗΓΓΕΛΛΟΜΗΝ, παρεκάλουν, ἐπέστελλον. Σοφ. Ἠλέκτρᾳ. (1018.) *Hesych.* Confer Thomam Mag. in Ἐπαγγέλλω.

ΕΠΗΛΙΣ, ἡ ἐπὶ τοῦ προσώπου μελανία, καὶ τὸ πῶμα τῆς λάρνακος, ὥς φασιν οἱ παλαιοὶ κατὰ τὸν Σοφοκλῆν. ἡ δ' αὐτὴ, καὶ Ἔφηλις κοινῶς, ὡς ἀπὸ τοῦ ἥλου. *Eustath.* p. 1562.

ΕΠΙΚΟΤΑ, ἐπίμομφα, ἃ πᾶς ἄν τις μέμψαιτο. Σοφ. Ναυπλίῳ καταπλέοντι. *Hesych.*

ΕΠΙΚΡΟΥΜΑ, ἐπίπληγμα, ἢ ἐπιχάραγμα. διὰ τὸ παρωνομάσθαι τῷ Ἄργῳ· Ἐπίκρουμα χθονὸς Ἀργείας. Σοφ. Ἰνάχῳ. *Hesychius* emendatus a Jo. Toup. Epist. Crit. p. 177. Senarii finis erat:

ἐπικρούματ' Ἀργείας χθονός.

ΕΠΙΜΑΣΣΕΤΑΙ, ἐπαύξεται ἐπὶ πλέον. ἀπὸ τοῦ μάσσοντος, ὅ ἐστι μακρότερον. οἱ δὲ, ἐφάψεται, ψηλαφήσει, ἢ οἷον οὐ λιμάσσει, ἀλλὰ καὶ προσεπιμάσσεται πλείω. Σοφ. Αἰχμαλωτίσιν. *Hesych.*

ΕΠΙΞΕΝΟΥΣΘΑΙ—πορεύεσθαι. Σοφ. Ἀχαιῶν Συλλόγῳ, καὶ Αἰσχύλος Κρήσσαις. *Idem.*

Τὰ κατὰ τὴν οἰκίαν σκεύη ΕΠΙΠΛΑ λέγουσι, τὴν οἷον ἐπιπόλαιον κτῆσιν, καὶ μετακομίζεσθαι δυναμένην. Σοφ. Ἀθάμαντι· *Harpocration* in Ἔπιπλον.

ΕΠΙΣΕΙΟΥΣΗΣ, ἐπικελευομένης. ἀπὸ τῶν τὰς ἡνίας ἐπιχαλώντων. Σοφ. Ἀχαιῶν Συλλόγῳ. *Hesych.*

ΕΠΙΣΙΓΜΑΤΑ, ἐπικελεύσματα. Σοφ. Ἀθάμαντι. ἐπαλαλάγματα *Hesych.* a Ruhnkenio emendatus. Vide Valckenarium ad Sel. Theocriti Idyllia p. 93.

ΕΠΙΣΠΑΣΕΙ, ἐπιτεύξεται. Σοφ. Ἀτρεῖ ἢ Μυκήναις. ἐπὶ τῶν τοῖς λίνοις λαμβανόντων. *Hesych.* a Casaubono emendatus.

Τοὺς βραβευτὰς, καὶ ἐπιστάτας ὠνόμαζον. ὅθεν καὶ τὸ βραβεύειν, ΕΠΙΣΤΑΤΕΙΝ Σοφοκλῆς. *Pollux* iii. 145.

ΕΠΙΣΤΩ, γίνωσκε. Σοφ. *Suidas.* Ex Œd. T. 658. Trach. 182. Phil. 1325. El. 616.

ΕΠΙΤΙΜΗΤΗΣ. τῇ λέξει κέχρηται Σοφοκλῆς, εἰπὼν ἐν τῇ Πρόκριδι· κολασταὶ, κἀπιτιμηταὶ κακῶν.
Pollux ix. 140.

ΕΠΙΤΙΜΙΑ, τὰ ἐπὶ τιμῇ τινος γινόμενα. Σοφ. *Suidas* ex El. 915.

ΕΠΩΜΟΤΟΝ, τοῦ ὅρκου ἐγγυητήν. Σοφ. *Suidas* e Trach. 1188.

ΕΡΓΟΙΣ παθὼν, ῥήμασιν ἀμύνεται. Σοφ. *Phrynichi Appar. sophist.*— Proverbialem locutionem duxit ex Œd. Col. 873. Confer *Suidam in* Ἀμυνόμενοι.

ΕΡΗΝΟΒΟΣΚΟΣ, ὁ προβατοβοσκός. ἐν Τυροῖ δευτέρᾳ Σοφ. *Etymol. M.*— Ἀρηνοβοσκὸς, προβατοβοσκός. Σοφ. Τυροῖ. καὶ γράφεται δὲ Ἐρρηνοβοσκὸς διά τι τοῦ ι καὶ τῶν δύο ρ. *Hesych.* Ἐρρηνοβοσκὸς, ὁ προβατοβοσκὸς ἐν Τυροῖ β Σοφοκλέους. ἴσως ἀπὸ τοῦ ἄρρην. *Photii Lex. MS.*

ΕΡΚΕΣΙ, δικτύοις. Σοφ. Ἀθάμαντι δευτέρῳ. *Hesych.*

ΕΡΚΗ, ὅπλα. Σοφ. Τρωΐλῳ. *Idem.*

ΕΣΕΦΘΗΝ, ἐσεβάσθην, ἠσύχασα, ᾐσχύνθην. Σοφ. Δαιδάλῳ. *Hesych.*— Ἐσέφθην, τὸ ἐσεβάσθην. Σοφ. *Photii Lexicon MS.*

ΕΣ ΤΕ, σημαίνει τὸ ἕως ἄν. Σοφ. (Aj. 1183.) Ἔς τ' ἐγὼ μολὼν τάφου μεληθῶ. γέγονε δὲ παρὰ τὴν ἐς πρόθεσιν καὶ τὸν τε, νῦν παραπληρωματικὸν παρειλημμένον· διὸ καὶ ψιλοῦται Ἀττικῶς· Δωριεῖς δὲ δασύνουσιν ἀπὸ τοῦ ἕως τι κατὰ συγκοπὴν ἡγούμενοι εἶναι. *Etymol. M.*

ΕΥΕΙΡΟΝ, εὔεριον. *Photii Lex. MS.* e Trach. 675.

ΕΥΚΑΡΠΟΝ ΚΥΘΕΡΕΙΑΝ καλῶς ὁ Σοφοκλῆς τὴν Ἀφροδίτην προσαγόρευσε. *Plutarchus Moral.* p. 144.

ΕΥΝΑΙΟΣ, ἐγκεκρυμμένος. Σοφ. Δόλοψιν·

Εὐναῖος εἴη δραπέτιν στέγην ἔχων.

Photii Lex. MS. et *Etymol. M.* Εὐναῖος. λαγώς. Σοφ. Δόλοψι. καταπτηχής. *Hesych.* Vide Jo. Toup. addenda ad Theocr. p. 410.

ΕΥΝΟΥΧΟΙ, οἱ τὴν εὐνὴν ἔχοντες, ὡς γεοῦχοι, εὐνούχους δὲ Σοφοκλῆς καὶ τοὺς ὀφθαλμοὺς τοὺς εὐνῦς, καὶ μὴ μετασχόντας ὕπνου, τουτέστι τηροῦντας· Οὐχ ὅπου λαμπάδες εὐνούχοισιν ὄμμασιν. *Etymol. MS. Biblioth. Reg.*

ΕΥΟΡΝΙΘΕΙΑΝ. Σοφοκλῆς ἐπὶ οἰωνῶν. *Photii Lex. MS.* Εὐορνιθία κατὰ τοὺς παλαιοὺς παρὰ Σοφοκλεῖ, τὸ ἀγαθὸν οἰώνισμα. *Eustath.* p. 1439.

ΕΥΣΟΙΑ, εὐσθένεια, σωτηρία. *Hesych.* ex Œd. Col. 390. Εὔσοια, εὐσθένεια. ζῶντά τ' εὐσοίας χάριν. *Suidas.*

ΕΥΣΤΟΜΟΣ ἵππος, καὶ αὐλὸς, καὶ ᾆσμα—καὶ ἀηδόνες παρὰ Σοφοκλεῖ (Œd. Col. 18.) εὐστομοῦσιν. *Pollux* ii. 100.

Εὐτυχία. εὕρηται καὶ ΕΥΤΥΧΕΙΑ παρὰ Σοφοκλεῖ. *Etymol. M.* in Θυσία.

ΕΥΩΡΟΣ γάμος. Σοφ. Ἴριδι. ἤτοι ὥριος ἢ ὀλίγωρος. οὕτω γὰρ λέγουσι κατὰ ἀντίφρασιν· ὡς ὁ αὐτὸς ἐν Σκυρίαις χρῆται τῷ ΕΥΩΡΙΑΖΕΙΝ. *Hesych.*

ΕΦΥΜΝΕΙΣ, ἐπῳδαῖς. Σοφ. Ἀλεάδαις. *Idem.*

ΕΧΘΙΜΑ, μισήματα. Σοφ. Τυροῖ. *Idem.* Vide Piersonum ad Herodianum p. 436.

ΕΧΡΩΜΑΤΙΣΘΗ, συνεχρώσθη. Σοφ. Ἀθάμαντι. *Idem.*

ΕΨΙΑ—ὁμιλία. Σοφ. Ἀθάμαντι δευτέρῳ. *Idem.*

ΖΑΜΕΝΗΣ, ὀργίλος, καὶ λοίδορος, καὶ βίαιος. Σοφ. *Suidas* ex Aj. 137.

ΖΕΥΓΗΛΑΤΗΣ. Σοφ. Τριπτολέμῳ. *Lex. MS. Sangerm.*

ΖΕΥΓΟΣ ΤΡΙΠΑΡΘΕΝΟΝ. Εὐριπίδης Ἐρεχθεῖ, καὶ Σοφ. Σισύφῳ. καταχρηστικῶς ἐπὶ τῶν τριῶν· τὸ ζεῦγος ἔθηκε. παραδίδοται δὲ, ὅτι καὶ τριζύγοις ἅρμασι τινὲς ἐχρήσαντο. *Hesych.*

ΖΕΥΞΙΛΕΩΣ, ζευκτὸς λαός. ἢ ᾧ ὑπεζευγμένοι εἰσὶ λαοί. Σοφ. Ἀνδρομέδᾳ. *Hesych.* Ζευξίλεως, ᾧ ὑπεζευγμένοι εἰσὶν οἱ λαοί. *Photii Lex. MS.*

ΖΗ, ἀντὶ τοῦ ζῆθι. Εὐριπίδης Ἰφιγενείᾳ ἐν Ταύροις (705.)

Ἀλλ' ἕρπε, καὶ ζῆ, δόμους οἴκει πατρός.

Σοφ. Δανάῃ·

Ζῆ, πῖνε, φέρβου.

Lex. MS. Sangerm. Vide Biblioth. Coislin. p. 482. In Sophoclis fragmento pro φέρβου, malit quis forte τέρπου. Ὡς καὶ ἀπὸ τοῦ δρῶ, τὸ δρᾶ, ἀντὶ τοῦ πράττε, καὶ ἀπὸ τοῦ ζῶ, τὸ ζῆ, προστακτικῶς καὶ αὐτὸ παρὰ Σοφοκλεῖ ἐν τῷ, Πλούτει τε γὰρ κατ' οἶκον, εἰ βούλει, μέγα, καὶ ζῆ. ἐξ οὗ δηλαδὴ τὸ ζῆθι γίνεται. *Eustath.* p. 1606. Confer Schol. ad Antig. 1169.

ΖΗΛΩ, μακαρίζω. Σοφ. Φιλοκτήτῃ ἐν Τροίᾳ. *Hesych.*

ΖΗΜΙΑΝ ΛΑΒΕΙΝ, ἀντὶ τοῦ ζημιωθῆναι. οὕτως Σοφ. *Photii Lex. MS.*

ΖΥΓΑΣΤΡΟΝ, τὸ κιβώτιον, ὥς φησι Σοφ. (Trach. 692.) Κοίλῳ ζυγάστρῳ. κυρίως ἡ ξυλίνη σορός. *Etymol. M.*

ΖΩΜΑ, ἡ ζώνη. οὐ ζῶσμα. Σοφ. ἐν Ἠλέκτρᾳ. (452.) *Thomas Mag.*

ΖΩΣΑΣ, ἐναργεστέρας, οὐκ ἀπολλυμένας. Σοφ. (Oid. T. 45.) ΟΡΩ ΖΩΣΑΣ, ἀντὶ τοῦ, οὐ σφάλλοντας, ἀλλὰ τοῦ ἀποβησομένου στοχάζονται καλῶς. *Suidas.*

Η pro ΗΝ. Τὸ δὲ μονοσύλλαβον ἦ οὐχ εὑρίσκομεν παρ' Ὁμήρῳ κατὰ τῆς δυνάμεως ταύτης, ἀλλὰ κατὰ τῆς ἑτέρας μόνον. (scilicet pro ἔφη) τῶν δὲ Ἀττικῶν ἐστι παρὰ Κρατίνῳ ἐν Πυτίνῃ·

Γυνὴ δ' ἐκείνου πρότερον ἦ, νῦν δ' οὐκ ἔτι.

καὶ παρὰ Σοφοκλεῖ ἐν τῇ Νιόβῃ·

Ἦ γὰρ φίλη 'γὼ τῶνδε τοῦ προφερτέρου.

καὶ ἐν Οἰδίποδι Τυρ. (1123.)

Ἦ δοῦλος οὐκ ὠνητὸς, ἀλλ' οἰκοτραφής.

Porphyrii Scholia MS. in Homerum ad Ἰλ. ι'. 533. ἦ pro ἦν apud Comicum sæpius occurrit.

ΗΓΟΜΗΝ, διῆγον. Σοφ. Θυέστῃ δευτέρῳ. *Hesych.*

ΗΓΡΙΩΣΑΙ, ἀντὶ τοῦ ἐσκλήρυνσαι. Σοφ. *Suidas* e Philoct. 1321.

ΗΚΡΩΤΗΡΙΑΣΜΕΝΟΙ τὰς ἑαυτῶν ἕκαστοι πατρίδας, ἀντὶ τοῦ λελυμασμένοι. οἱ γὰρ λυμαινόμενοί τινας, εἰώθασι περικόπτειν αὐτῶν τὰ ἄκρα, ὡς καὶ Σοφοκλῆς Πολυξένῃ. τὸ μέν τοι ἠκρωτηριασμένοι, ἀντὶ τοῦ ἐνεργητικοῦ κεῖται τοῦ ἠκρωτηριακότες. *Harpocrat.*

ΗΜΑΛΔΥΨΑΙ, κρύψαι, ἀφανίσαι. Σοφ. Ὀδυσσεῖ μαινομένῳ. *Hesych.*

ΗΜΙΚΑΚΟΝ Εὐκλείδης λέγει, καὶ Σοφοκλῆς. Ἀριστοφάνης δὲ καὶ ἡμικάκως. (Thesmoph. 449.) *Pollux* vi. 161. Ridiculus est Phrynichus vocem adeo classicis scriptoribus adhibitam damnans.

ΗΝΕΓΚΟΝ, ἐπὶ πρᾴτου προσώπου. Σοφ. Τυροῖ. Ἀριστοφάνης Θεσμοφοριαζούσαις (742.) *Lex. MS. Sangerm.* Œd. Col. 521.

ΗΡΑΚΛΕΙΑ ΛΙΘΟΣ—κέκληται δὲ οὕτως ἀπὸ Ἡρακλείας τῆς ἐν Λυδίᾳ πόλεως. διὸ καὶ Σοφοκλῆς Λυδίαν λίθον αὐτὴν καλεῖ. *Hesych.* Bacchylides:

Λυδία μὲν γὰρ λίθος
μανύει χρυσόν.

ΗΣ, terminatio accusativi pluralis. ἡ αἰτιατικὴ εἰς ΕΑΣ συσταλμένως καὶ ΕΙΣ κατὰ κρᾶσιν, καὶ εἰς ΗΑΣ καὶ ΗΣ, ὡς παρὰ Σοφοκλεῖ (Aj. 390.) Τούς τε δισάρχας ὀλέσας βασιλῆς. *Draco Stratonicensis* περὶ μέτρων. Verius, opinor, Gregorius de Dialectis: Τὰς ἀπὸ τῶν εἰς ΕΥΣ εἰς ΕΙΣ πληθυντικὰς εὐθείας, διὰ τοῦ Η γράφουσιν, ἱππῆς, βασιλῆς, Πλαταιῆς. Vide notam ad Ajacis versum supra citatum.

ΗΣΜΕΝ, ἀντὶ τοῦ ᾔδειμεν. καὶ ᾔστε, ἀντὶ τοῦ ᾔδειτε. Σοφ. Κόλχοις·
Ὑμεῖς μὲν οὐκ ἄρ' ᾖστε τὸν Προμηθέα.
Etymol. M. in Ἦσμεν.

ΘΑΙΡΟΣ, ὁ διήκων ἀπὸ τοῦ ἄνω μέρους ἕως κάτω στροφεὺς τῆς θύρας, ἢ ἄξων. Σοφ. Τριπτολέμῳ. *Hesych.* Ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηται καὶ ὅτι θαιρὸς, ὁ ἄξων παρὰ Σοφοκλεῖ. *Eustath.* p. 419. Vide supra in Ἀμφιπλὶξ.

ΘΕΑΝΗ νῆσος. ἡ ἐκ θεοῦ θεία. Σοφοκλῆς Τυροῖ. *Hesych.*

ΘΕΗΛΑΤΟΣ, ὑπὸ θεῶν πεμφθείς. *Photii Lex. MS.* Pertinet ad Œd. T. 255.

ΘΗΛΑΣΤΡΙΑ, τροφός. ἔστι δὲ Ἰακόν. Σοφ. Ἀλεξάνδρῳ. *Hesych.*

ΘΗΛΕΙΑ, ἐκ τοῦ θῆλυς. ἢ παρὰ τὸ θάλλειν καὶ γεννᾷν. ὅθεν καὶ ἡ ὑπέμβρος νὺξ παρὰ Σοφοκλεῖ θήλεια καλεῖται. *Etymol. M.*

ΘΗΜΑ, θήκη, τάφος, ἀνάθημα. Σοφ. Σαλμωνεῖ. *Hesych.*

ΘΡΕΚΤΟΙΣΙ νόμοις. ἀντὶ τοῦ τραχέσι. Σοφ. Ὀδυσσεῖ μαινομένῳ. ἔνιοι δὲ, κρεκτοῖς. *Idem.*

ΘΡΗΝΕΙΝ ἐπῳδάς. ἐπιφωνεῖν καὶ ἐπᾴδειν. Σοφ. Αἴαντι (582.) τουτέστιν, οὐκ ἔστιν ἰατροῦ σοφοῦ ἴδιον ἐπῳδαῖς χρῆσθαι, τοῦ τραύματος ἤδη τομῆς δεομένου. καὶ ἐν Ποιμέσι·

Λόγῳ γὰρ οὐδὲν ἕλκος οἶδά που χανόν.

Suidas. Grotius vertit:

Ego voce factum vulnus haud ullum scio.

ΘΡΙΑΖΕΙΝ, φυλλολογεῖν, ἐνθουσιᾷν, ἐνθουσιάζειν. Σοφ. Ὀδυσσεῖ μαινομένῳ. *Hesych.*

ΘΩΧΘΕΙΣ, θωρηχθεὶς, μεθυσθείς. Σοφ. Διονυσιακῷ. *Idem.* Non est dramatis titulus Διονυσιακός. Scribendum forte ἐν Διονυσιακῷ τινι σατυρικῷ, vel δράματι, ut supra in Ἄλυπον.

ΙΑΝΝΑ. ἐν μὲν Αἰχμαλωτίσι Σοφοκλέους ἀπέδοσαν Ἑλληνική· ἐπεὶ Ἴαννας τοὺς Ἕλληνας λέγουσιν. ἐν δὲ Τριπτολέμῳ, ἐπὶ γυναικὸς, ὡς καὶ ἐν Ποιμέσι· τινὲς δὲ, τὴν Ἑλένην. ἐπιεικῶς δὲ οἱ βάρβαροι τοὺς Ἕλληνας Ἴωνας λέγουσιν. ἐν δὲ Τρωΐλῳ βάρβαρον θρήνημα τὸ ΙΑΙ. ἢ ὄνομα γυναικός. *Idem.*

Ἴδρις—ἄϊδρις. ἡ γενικὴ ἀΐδριος, ὡς ὄφις ὄφεως· καὶ ἀΐδρεῖ καὶ ἀΐδρει. οὐ γὰρ δεῖ διὰ τοῦ δ.—ἔστι ἁμάρτημα τὸ παρὰ Σοφοκλεῖ ΙΔΡΙΔΑ. *Etymol. M.* in Ἀΐδροι. Confer Eustathium p. 407.

ΙΕΡΟΛΑΣ, ἱερεύς. Σοφ. Αἰχμαλώτοις. ὡς καὶ τὸν γέροντα γεραίτατον, ἢ γεροντίαν λέγει. *Hesych.* ab Adr. Heringa emendatus.

ΙΗΟΥΣ καμάτους. τοὺς κατὰ τὸν τόκον, ἐν ᾧ ἰᾶσι φωνὰς, διὰ τοὺς πόνους καὶ τὰς ὠδῖνας αἱ τίκτουσαι. τινὲς δὲ, τοὺς θρηνητικοὺς πόνους, ἀπὸ τοῦ ἰαλέμου. Σοφ. Οἰδίποδι Τυρ. *Idem.*

ΙΗΙΟΣ—ἐπὶ δὲ τοῦ θρήνου ψιλοῦται. Σοφ. Οἰδίπ. Τυρ. (174.) Οὔτε γὰρ ἔκγονα κλυτᾶς χθονὸς αὔξεται, οὔτε τόκοισιν ἰήων καμάτων. τῶν θρηνητικῶν. *Orionis Thebani Etymol. MS.* Confer vulgatum Etymol. in Ἰάλεμος.

ΙΗΙΟΣ—ἀλλὰ καὶ θρῆνον σημαίνει, ὡς Σοφ. Τρωΐλῳ. *Hesych.*

ΙΚΤΙΝΑ—καὶ ἡ ὀρθὴ, ὁ ἴκτινος. Σοφ. Ἴκτινος ἔκραξε παρασύρας κρέας. *Lex. MS. Bibl. Reg.*

ΙΚΤΟΡΕΥΣΟΜΕΝ, ἱκετεύσομεν. Σοφ. Αἰχμαλωτίσι. *Hesych.*

ΙΛΛΑΔΑΣ, γονὰς ἀγελαίας, καὶ τὰς συστροφάς. Σοφ. Ἀκρισίῳ. *Idem.*

ΙΛΛΥΡΙΣ ΓΟΝΗ. ἀντὶ τοῦ Ἰλλυρὶς γενεά. γράφεται δὲ καὶ γυνή. ὁ δὲ Καλλίστρατος, γύη, ἀντὶ τοῦ γῆ. χρῶνται γὰρ οὕτως. Σοφ. Τριπτολέμῳ. *Idem.*

ΙΞΟΦΟΡΟΥΣ δρύας. τὰς ἰξὸν φερούσας. Σοφ. Μελεάγρῳ. *Idem.*

ΙΠΠΟΒΟΥΚΟΛΟΙ, Σοφ. *Pollux* vii. 185.

ΙΠΠΟΜΑΝΗΣ. Σοφ. Αἴαντι. (143.) Σὲ τὸν ἱππομανῆ. ἤτοι πολεμικὸν καὶ ἵπποις ἐπιμαινόμενον. ἢ τὸν μέγαν καὶ ἄνετον. εἴωθε γὰρ ἡ προσθήκη τῶν τοιούτων ζώων, τὸ μέγεθος τοῦ ὑποκειμένου δηλοῦν, ὡς θυμὸν ἱππογνώμονα, τὸν μεγάλης γνώμης· καὶ βούπαις. ἱππομανής ἐστι καὶ ἐπὶ τοῦ λειμῶνος, ἤτοι ὅπου ἵπποι μαίνονται. ἢ τὸν εὐανθῆ, ἐν ᾧ εὐανθὴς βοτάνη, ὥστε μαίνεσθαι τοὺς ἵππους διὰ τὸν καιρὸν ἐπ' αὐτῆς τῆς χλόης τοῦ λειμῶνος. τὴν μεγάλως μεμηνυῖαν· καὶ τὸν ἀνθοῦντα τῇ χλόῃ· ἐπεὶ καὶ φυλλομανής. *Etymol. M.*

Τὸ δὲ ΙΣΟΘΑΝΑΤΟΝ Σοφοκλέους εἰπόντος ἐν Κρεούσῃ, οὐ πάνυ ἀνεκτόν. *Pollux* vi. 174.

ΚΑΘΑΓΙΣΩ, συντελέσω, καὶ καθιερώσω. παρὰ δὲ Σοφοκλεῖ ἐκ τῶν ἐναντίων, ἐπὶ τοῦ μιαίνειν τέτακται. *Hesych.* Pertinet ad Antig. 1081. Priori significatione occurrit apud Comicum Av. 566. Lys. 238.

ΚΑΘΕΛΩΝ, Δημοσθένης ἀντὶ τοῦ ἀνελὼν, ἤτοι ἀποκτείνας. καὶ Στησίχορος καὶ Σοφοκλῆς. *Photii Lex. MS.* Vide infra in Ὁδός.

ΚΑΝΝΑΒΙΣ. Σοφ. Θαμύρᾳ. Ἡρόδοτος δ΄. *Lex. MS. Sangerm.*

ΚΑΡΙΚΟΙ τράγοι, ὡς εὐτελῶν ὄντων. Σοφ. Σαλμωνεῖ. εἰ μὴ ἄρα ὑποσυγχέων, τοὺς Κιλικίους. *Hesych.*

Κάρυα—τὸ δὲ δένδρον ΚΑΡΥΑ παρὰ Σοφοκλεῖ· Καρύαι μελίαι τε. *Athenæus* p. 52.

ΚΑΡΠΟΜΑΝΗΣ, εἰς κόρον ἐξυβρίζουσα. Σοφ. Περιλάῳ. *Hesych.*

ΚΑΤΑΓΝΩΝΑΙ, ἐπιγνῶναι, μέμψασθαι. Σοφ. Ἀθάμαντι προτέρῳ. *Idem.*

ΚΑΤΑΙΝΕΣΑΝΤΟΣ, συγκαταθεμένου. Σοφ. *Suidas* ex Œd. Col. 1633.

ΚΑΤΑΡΒΥΛΟΙΣ, χλαίναις ποδήρεσιν, ὥστε καὶ ἐπὶ τὰς ἀρβύλας χαλᾶσθαι. Σοφ. Τρωΐλῳ. ΚΑΤΑΡΒΥΛΟΣ, χλανὶς ποδήρης ἕως τῶν ἀρβυλῶν. *Hesych.*

ΚΑΤΑΡΡΑΚΤΗΣ, ὀχετὸς, ῥύαξ. καὶ ὁ ἀετός. Σοφ. Λαοκόωντι. καὶ τὰς Ἁρπυίας ἐν Φινεῖ. *Idem.*

ΚΑΤΕΥΧΕΣΘΑΙ τῶν Ἀχαιῶν, ἀντὶ τοῦ κατὰ τῶν Ἀχαιῶν εὔχεσθαι. οὕτως Σοφοκλῆς. *Photii Lex. MS.*

ΚΑΤΕΦΡΟΝΕΕ, κατενόει. φρονεῖν γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ νοεῖν. μέμνηται καὶ Σοφ. ἐν Ἀχαιάδῃ καὶ ἐν Ἀμφιαρέῳ. *Erotiani Lex. Hippocr.* Corruptus est prioris fabulæ titulus. Conjici possit ἐν Ἀχαιῶν Συλλόγῳ, ἐν Ἀλωάδαις.

ΚΑΤΗΝΑΡΙΣΜΕΝΑ, ἀπολωλότα, ἐκδιδαρμένα, ἐσκυλευμένα. Σοφ. Αἴαντι μαστιγ. (26.) *Hesych.*

ΚΑΤΟΥΛΑΔΑ. Σοφ. Ναυπλίῳ·

Ἐπεύχομαι δὲ νυκτὶ τῇ κατουλάδι.

τὴν κατίλλουσαν καὶ κατείργουσαν. καὶ ἐξούλης δίκη, ἡ ἐξείρξεως. οἱ δὲ, τῇ πανολέθρῳ ἐσομένῃ τοῖς Ἕλλησιν. οὖλον γὰρ, τὸ ὀλέθριον· καὶ ἡ κατὰ πρόθεσις αὔξησιν ἔχει. ἢ ζοφώδη, ἀπὸ τῆς κατὰ τὸ σῶμα γινομένης οὐλῆς. μελάντεροι γάρ. ἢ καταιγίδας ἔχουσαν καὶ συστροφὰς ἀνέμων. εἴλλειν γὰρ, τὸ συστρέφειν. *Photii Lex. MS.* unde eximiam hanc glossam protulit Kusterus ad Suidam tom. ii. p. 281. Ejusmodi noctem pulchris versibus describit Argonauticorum poëta iv. 1695.

Νὺξ ἐφόβει, τήνπερ τε κατουλάδα κικλήσκουσι,
νύκτ' ὀλοήν· οὐκ ἄστρα διΐσχανεν, οὐκ ἀμαρυγαὶ
μήνης· οὐρανόθεν δὲ μέλαν χάος, ἤ τις ἀΐδνὴ
ὠρώρει σκοτίη μυχάτων ἀνιοῦσα βερέθρων.

ΚΑΥΡΟΣ, κακός. οὕτως Σοφοκλῆς. *Photii Lex. MS.*

ΚΕΚΟΝΑ, παρὰ Σοφοκλεῖ. ἀπὸ τοῦ κτείνω, ἔκτονα, κέκονα. *Etymol. M.*

ΚΕΧΗΛΩΜΑΙ, πόδας δέδεμαι, συνέρραμμαι τοὺς πόδας. χηλεύειν γὰρ, τὸ ῥάπτειν. καὶ χηλινὸν, τὸ πλεκτὸν, ὁ Ἀνακρέων. καὶ χήλωμα, τὸ σπαρτίον, Σοφ. Πανδώρᾳ, ἢ Σφυροκόποις. *Hesych.*

ΚΗΡΥΚΕΙΟΝ. ἔστι προσηγορικὸν, καὶ σημαίνει πᾶσαν ῥάβδον κήρυκος. ἔστι καὶ κτητικὸν, σημαῖνον τὸ τοῦ κήρυκος, ὡς παρὰ Σοφοκλεῖ, Γράμμα κηρύκειον. *Etymol. M.*

Κιμμερίους φησὶν Ἡρακλείδης ὁ Ποντικὸς ὑποκάτω τοῦ Πόντου εἶναι. γράφεται καὶ ΚΕΡΒΕΡΙΩΝ. καὶ ἔοικε καὶ Σοφοκλῆς περιπεπτωκέναι τῇ τοιαύτῃ γραφῇ· ὁμοίως καὶ Ἀριστοφάνης ἐν Βατράχοις. (187.) *Idem.*

ΚΙΝΑΔΟΣ, ἐπὶ τοῦ θηρίου—καὶ ἡ λοιδορία οἰκείως ἂν ἔχοι ἐπὶ τῶν πολυκινήτων—καὶ τῷ κινάδει Σοφοκλῆς. *Idem.* Spectat ad Aj. 103.

ΚΙΝΑΚΗ, ὁ ἀκινάκης παρὰ Σοφοκλεῖ. *Idem.*

Κινάρα. ταύτην Σοφοκλῆς ἐν Κολχίσι ΚΥΝΑΡΑΝ καλεῖ· ἐν δὲ Φοίνικι, ΚΥΝΑΡΟΝ·

Κύναρος ἄκανθα πάντα πληθύει γύην.

Athenæus p. 70. Ἀπὸ κυνὸς λέγεται συντεθεῖσθαι παρὰ Σοφοκλεῖ καὶ ἡ ΚΥΝΑΡΟΣ ἄκανθα, ἡ καὶ κυνάρα, ἣν ἡ κοινὴ γλῶσσα κυνόσβατον ὀνομάζειν οἶδεν. *Eustath.* p. 1822.

ΚΝΩΔΟΝΤΟΣ, τῆς ἀκμῆς τοῦ ξίφους, τῆς ὀξείας εἰς τὸ καίνειν. ἀπὸ δὲ τοῦ μέρους τὸ ὅλον ξίφος δηλοῖ. Σοφ. *Suidas* ex Aj. 1025.

ΚΟΙΝΟΣ—ἀδελφός. Σοφ. Ἀντιγόνῃ·

Ὦ κοινὸν αὐτάδελφον Ἰσμήνης κάρα.

καὶ ἐν Ὑδροφόροις· Πολύκοινον Ἀμφιτρίτην. *Hesych.*

ΚΟΚΚΟΒΟΑΣ ὄρνις, ὁ ἀλεκτρυὼν, παρὰ Σοφοκλεῖ. *Eustath.* p. 1479.

ΚΡΑΝΑΑ πόλις. τοῦτο τέτριπται ὑπὸ τῶν παλαιῶν. καὶ Αἰσχύλος γὰρ καὶ Σοφοκλῆς ἐχρήσαντο τῇ λέξει. *Schol. Comici ad Acharn.* 75. Κραναὴν πόλιν, τὰς Ἀθήνας, ἀπὸ Κραναοῦ. *Hesych.*

ΚΡΟΤΗΜΑ, ἐπὶ τῶν δολίων τάσσεται. *Idem.* Κεκροτημένοι. ἀντὶ τοῦ

ὑφαπτισμένοι. ἰθάδες πανούργων ἔργων. ἡ δὲ μεταφορὰ ἀπὸ τοῦ κεκροτημένου χαλκοῦ. καὶ Σοφ.

Τὸ πάνσοφον κρότημα, Λαέρτου γόνος.

Theocr. Schol. Vide Valckenarium ad sel. Idyll. p. 357.

ΚΤΩΜΗΝ, σὺν τῷ ι. Σοφ. ἀντὶ τοῦ κταοίμην. *Etymol. M.* Pertinet ad Trach. 191. Sic Œd. Col. 799. ζῷμεν.

ΚΥΑΜΩ ΠΑΤΡΙΩ. Σοφ. Μελεάγρῳ. ὡς καὶ τῶν Αἰτωλῶν τὰς ἀρχὰς κυαμευόντων. διεκλήρουν δὲ αὐτὰς κυάμῳ, καὶ ὁ τὸν λευκὸν λαβὼν, ἐλάγχανεν. ἀνάγει δὲ τοὺς χρόνους, ὡς καὶ ἐν Ἰνάχῳ, Κυαμόβολον δικαστήν. *Hesych.* Vide Toupii Epist. Crit. p. 54.

Ἔστι ΚΥΔΟΣ ἀρσενικῶς καὶ σημαίνει παρὰ Συρακουσίοις τὴν λοιδορίαν. ἀπὸ γοῦν τοῦ κύδος, ΚΥΔΑΖΩ. Κυδάζεται τοῖς πᾶσιν Ἀργείοις. ἀντὶ τοῦ λοιδορεῖται. Σοφ. Αἴαντι. (722.) *Etymol. M.* in Ἐκυδάσσατο.

ΚΥΚΝΙΤΙΣ, ἧς ὁ Κύκνος ἐβασίλευσε. Σοφ. ἐν Πηλεῖ, καὶ ἐν Ποιμέσι, Βοὴν Κυκνῖτιν. *Stephanus.*

ΚΥΛΛΑΙΝΩΝ ΚΑΤΩ. Σοφ. Φαίδρα. τὰ ὦτα καταβαλὼν, ὅπερ οἱ σαίνοντες κύνες ποιοῦσιν·

Ἔσαινεν οὐρᾷ τὦτα κυλλαίνων κάτω.

οἷον τὸ, (Odyss. ρ΄. 302.)

Οὐρῇ μέν ῥ᾽ ὅγ᾽ ἔσηνε, καὶ οὔατα κάββαλεν ἄμφω.

Hesych.

ΚΥΜΒΗ, πλοίου εἶδος· Σοφ. *Photii Lex. MS.*

ΚΥΡΟΣ, ἐπιτευκτικὴ, καὶ κυρία. Σοφ. *Suidas* ex El. 919.

ΚΩΧΕΥΟΥΣΙΝ, ὀχεῦσι, μετεωρίζουσι. Σοφ. Καμικίοις·

Πετροὶ γε κωχεύουσιν ἀμφορεῦ δέμας.

Hesych. ex Etymol. Regio MS. emendatus a Ruhnkenio in Auctario.

ΛΑΓΟΣ. τῇ δὲ τὸν λαγὸν ἑνικῇ αἰτιατικῇ ἀκόλουθός ἐστιν ἡ παρὰ Σοφοκλεῖ ἐν Ἀμύκῳ Σατυρικῷ πληθυντικὴ ὀνομαστική·

Γέρανοι, κορῶναι, γλαῦκες, ἴκτινοι, λαγοί.

Athenæus p. 400. In Lexico MS. Bibliothecæ Reg. scriptum ἰκτὶς καὶ λαγοί. Forte verum est ἰκτίδες, λαγοί.

ΛΑΙΘΑΡΓΟΣ, δηλοῖ μὲν κύνα. τροπικῶς δὲ σημαίνει καὶ ἐπίβουλον ἄνθρωπον κρύφα βλάπτοντα. καὶ ἔστιν ἐκεῖνος ὥσπερεί φασιν λαθροδήκτης, ἀπὸ κυνῶν. Σοφ.

Σαίνουσα δάκνεις, καὶ κύων λαίθαργος εἶ.

Eustath. p. 1493. Confer Suidam. Vocem λαίθαργος Plautus in Bacchidibus e Græco translatis, novo, quod solens confixit, vocabulo reddidit *clam-mordax,* quod interpretibus non fuit observatum. v. ii. 27.

Et, præter eos agnos, meus est istic clam-mordax canis.

Erat in Græca fabula versus hujusce forte non multum absimilis.

θυμὸς σὺν αὐτοῖς ἐστι λαίθαργος κύων.

ΛΑΜΠΗΝΗ, εἶδος ἁμάξης, ἐφ᾽ ἧς ὀχοῦνται. *Hesych.* Ἔστι δὲ τοὔνομα ἡ Λαμπήνη ἐν τῇ Σοφοκλέους Ναυσικάᾳ. *Pollux* x. 52.

ΛΑΠΙΖΕΙΝ, παρὰ Σοφοκλεῖ, τὸ συρίζειν. καὶ ΒΑΥΒΑΝ, τὸ κοιμᾶσθαι, οἷον·

ἡ δὲ προὐκαλεῖτό με

βαυβᾶν μετ᾽ αὐτῆς.

Eustath. p. 1761.

ΛΕΥΓΑΛΕΑ, διάβροχος. οὕτως Σοφοκλῆς. *Photii Lex. MS.* ΛΕΥΓΑΛΕΟΝ, τὸ ὑγρόν. Σοφ. Μύρῳ λευγαλίῳ. *Etymol. M.*

ΛΕΥΚΗΝ ΗΜΕΡΑΝ. τὴν ἀγαθήν. Σοφ. Ἀθάμαντι. *Lex. MS. Sangerm.*

ΛΗΚΥΘΙΣΤΗΣ, ὁ μικρόφωνος. οὕτως Σοφ. *Photii Lex. MS.* Vide Suidam in voce.

ΛΙΒΑΝΟΝ λέγει τὸ δένδρον· τὸ δὲ θυμιώμενον, λιβανωτόν. εἰ καὶ διὰ τὴν ποιητικὴν λίβανον καὶ τοῦτο Σοφοκλῆς λέγει. *Phrynichus Ecl. nom. Att.*

ΛΙΓΔΟΙ, χοάναι, τύποι, εἰς οὓς κατέρχεται τὸ ἐν τῇ χάνῃ διὰ τῶν κοπημάτων. ἦσαν δὲ πήλιναι. Σοφ. *Hesych.* in Γλίδου χοάναι. Pertinet ad versum e *Captivis* servatum a Polluce. Fragm. ii.

ΛΙΚΝΟΙΣΙ ΠΡΟΤΡΕΠΕΣΘΑΙ. λίκνα ἱστάντες προσάγεσθαι. ἅ ἐστι κανᾶ, ἐφ' οἷς τὰ λήϊα ἐπετίθετο, ἅπερ εἰσὶ καρποὶ πύρινοι. *Idem.* Pertinet ad fragmentum e Plutarcho et Clemente relatum inter incerta lx.

ΛΙΠΟΨΥΧΕΙΝ. Σοφ. Πηλεῖ. *Lex. MS. Sangerm.*

ΛΙΤΡΑ. ἦν μὲν νόμισμά τι, ὡς Δίφιλος. ἐπὶ δὲ τοῦ σταθμοῦ Ἐπίχαρμός τε καὶ Σώφρων ἐχρήσαντο. Σοφοκλῆς δὲ ΛΙΤΡΟΣΚΟΠΟΝ φησὶ τὸν ἀργυραμοιβὸν, ἀπὸ τοῦ νομίσματος. *Photii Lex. MS.*

ΛΥΚΟΚΤΟΝΟΥ θεοῦ. Σοφ. Ἠλέκτρᾳ. (6.) Ἀρίσταρχος, διὰ τὸ τὸν θεὸν νόμιον εἶναι, καὶ τὴν τῶν βοσκημάτων φυλακὴν ποιούμενον τὸν Ἀπόλλωνα, ἀναιρεῖν τοὺς λύκους. ἔστι γὰρ ὁ λύκος ἱερὸν Ἀπόλλωνος. *Hesych.*

ΛΥΜΕΩΝ, ὁ φθορεύς. Σοφ. *Suidas* ex Aj. 573.

ΜΑΓΑΔΙΣ, ψαλτικὸν ὄργανον. οὕτως Σοφοκλῆς. *Photii Lex. MS.*

ΜΑΓΝΟΝ. Σοφ. Ὀδυσσεῖ. τὸν μέγαν, τὸν ἀπομάσσοντα καὶ καθαίροντα. *Idem.*

ΜΑΙΕΥΤΡΙΑΝ, ἀντὶ τοῦ μαῖαν. Σοφ. Ἀλεξάνδρῳ. *Lex. MS. Sangerm.*

ΜΑΡΕΙΝΗ, ἡ μεμαραμμένη ὕλη, καὶ τοὺς ἀνθρακευτάς. Σοφ. *Photii Lex. MS.*

Λέγονται ΜΑΣΘΛΗΣ, διπλοῦς ἱμάς. ἢ ὅτι οὐ μόνον κατὰ τὴν βαφὴν ἦν τοιοῦτος, ἀλλὰ καὶ ἀπὸ τοῦ αἵματος ἐπέχρωσε. Σοφ. Ἀνδρομέδᾳ·

ἰδοὺ δὲ φοίνιον
μάσθλητα δίγονον.

Etymol. M. ΜΑΣΘΛΗΤΑΣ, ἱμάντας, ἡνίας. καὶ ἡ μάσθλη, ἡνία. Σοφ. Ἀνδρομέδᾳ καὶ Συνδείπνοις. *Hesych.*

ΜΑΣΤΑΚΑΣ, τὰς ἀκρίδας Σοφοκλῆς. *Photii Lex. MS.* Ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηται καὶ ΜΑΣΤΑΚΕΣ, αἱ ἀκρίδες. καὶ λέγεται κεῖσθαι τοῦτο παρὰ Σοφοκλεῖ ἐν Φινεῖ. *Eustath.* p. 1496.

Ἡ μέλλουσα γαμεῖσθαι, μελλονύμφη. βέλτιον δὲ, ὡς Σοφοκλῆς ἀνόμασε, τῆς ΜΕΛΛΟΓΑΜΟΥ. ταύτην δὲ καὶ ΤΑΛΙΝ καλεῖ. (Antig. 627.) *Poll.* iii. 45.

ΜΗΛΑ. Σοφοκλῆς, φησὶν ὁ γραμματικὸς Ἀριστοφάνης, δόξειεν ἄν που καὶ τὰ θηρία πάντα μῆλα καλεῖν. *Eustathius* p. 877. Σοφοκλῆς γοῦν, φασὶ, τὸν Ἀχιλλέα τραφῆναι εἰπὼν ἐν τῷ Πηλεῖ πᾶν μῆλον θηρῶντα, δόξοι ἂν τὰ θηρία πάντα μῆλα καλεῖν. *Idem* p. 1648.

ΜΗ ΝΟΜΙΣΟΝ, ἀντὶ τοῦ, μὴ νομίσῃς. Σοφ. Πηλεῖ. *Lex. MS. San-*

germ. Sic apud Comicum μὴ ψιῦσον, Thesmoph. 870. ubi vide quæ notavimus.

ΜΗΤΗΡ, ἡ τικοῦσα—ἡ μαστὸν ἐπισχοῦσα, ὡς Σοφοκλῆς. *Pollux* iii. 10.

ΜΗΧΑΝΟΡΡΑΦΟΣ, ἐπινοητὴς κακῶν, κατασκευαστής. τὰ φαῦλα μηχανώμενος. Σοφ. *Suidas* ex Œd. T. 387.

ΜΙΑΙΝΕΣΘΑΙ καὶ ΕΚΜΙΑΙΝΕΣΘΑΙ, τὸ ὀνειρώττειν. Σοφ. *Photii Lex. MS.*

ΜΙΑΝ ΜΙΑΝ, ἀντὶ τοῦ κατὰ μίαν. Σοφ. Ἔριδι. *Lex. MS. Sangerm.* Eadem loquendi forma, qua μᾶλλον μᾶλλον dicunt, quod apud Suidam vide, et ὅσον ὅσον apud Comicum Vespis 213. Latini *magis magis, minus minus.* Vide Hieron. Columnam ad Ennii fragmenta p. 99.

ΜΙΝΥΡΕΤΑΙ, ᾄδει, κλαίει, θρηνεῖ, εὐφώνως λέγει. Σοφ. *Suidas* ex Œd. Col. 671.

ΜΝΕΙΑΝ, τὴν μνήμην. Σοφ. Ἀλεξάνδρῳ. *Lex. MS. Sangerm.* Eamdem glossam habent Photius et Suidas, sed absque dramatis indice. El. 392.

ΜΟΛΙΒΟΣ καὶ ΜΟΛΥΒΔΟΣ. εἰ μὲν ι ἐστὶν, τὸ δ οὐκ ἔστιν, οἷον·

Καὶ μόλιβος ὥστε δίκτυον

κατῆγε. - - - Σοφοκλῆς. ἐὰν δὲ τὸ υ, τὸ δ. *Etymol. M.* Legitur apud Plutarchum Moral. p. 75. innominati Tragici versus, qui forte idem est, quem Etymologici auctor laudat, ab alterutro immutatus. Juxta Grammatici canonem senarius apud Plutarchum sic scribi debuit:

Μολυβδὶς ὥστε δίκτυον κατέσπασεν.

ΜΥΝΔΟΣ. μύνδος ἰχθὺς, Σοφοκλῆς· ὁ μὴ αὐδῶν. ὅθεν καὶ ἔλλοψ, ἀπὸ τοῦ ἐλλειπῆ τὴν ὄπα ἔχειν. *Etymol. M.* Vide Casaubonum ad Athenæum p. 538.

ΜΥΝΗΣ, *nomen proprium.* Τὸ γοῦν Μύνης, Ὅμηρος μὲν Μύνητος κλίνει· Σοφοκλῆς δὲ ἰσοσυλλάβως. *Eustath.* p. 1017.

ΜΩΛΥΣ, ὁ ἀμαθής. Σοφοκλῆς δὲ Φαίδρᾳ, ΜΕΜΩΛΥΣΜΕΝΗ, πεπηρωμένη. *Hesych.* Timon Phliasius apud Diog. Laërt. vii. 170. Cleanthem qui erat obtusi et tardi ingenii μωλύτην appellat.

ΝΑΡΟΝ, τὸ ὑγρὸν, παρὰ τὸ νῶ ῥῆμα· δηλοῖ τὸ ῥέω. ὁ μέλλων νάσω. γίνεται ναρός. καὶ τὸ οὐδέτερον, ναρόν. Σοφ. Τρωΐλῳ·

Πρὸς ναρὰ δὲ κρηναῖα χωροῦμεν ποτά.

οὕτω Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων. καὶ ἴσως ἡ συνήθεια τρέψασα τὸ α εἰς ε, λέγει νερόν. *Orionis Thebani Etymol. MS.* Confer vulgatum Etymologicon, et Salmasium ad Hist. Augustam p. 311.

ΝΑΥΚΛΗΡΟΝ πλάτην, ναυτικήν. Σοφ. Ναυπλίῳ πυρκαεῖ. *Hesych.*

ΝΕΝΩΤΑΙ, νενόηται. παρὰ Σοφοκλεῖ Ἑλένης γάμῳ. *Etymol. M.*

ΝΕΥΡΟΣΠΑΔΗΣ ἄτρακτος, παρὰ Σοφοκλεῖ ἐν Φιλοκτήτῃ. (290.) ὃν ἀφίησί τις, τῇ νευρᾷ ἐπισπώμενος αὐτόν. *Suidas.*

ΝΗΛΙΠΟΥΣ, ὁ ἀνυπόδητος. *Idem* ex Œd. Col. 349.

ΝΩΜΩΝ, κρίνων, ἐξετάζων. Σοφ. *Idem* ex Œd. T. 300. ubi glossa, ἐρευνῶν, σκοπῶν. Plato in Cratylo citatus a Musgravio ad Eurip. Phœn. 1290. τὸ νωμᾶν καὶ τὸ σκοπεῖν ταὐτόν.

ΞΑΝΩ, κοπιάσω. Σοφ. Ποιμέσιν. Ἕκτωρ τοῖς Ἀχαιοῖς βουλόμενος μονομαχεῖσθαι, φησίν·

Ἡδὺ ξανῆσαι, καὶ προγυμνάσαι χέρα.

Photius, Suidas. Senarium vertit Grotius:

Sic dulce manibus prælio proludere.

ΞΑΣΜΑ, Σοφοκλῆς. *Pollux* vii. 30. Sic nimirum appellavit ξανθὲν ἔριον.

ΞΗΡΑΛΟΙΦΕΙΝ ἐλέγετο χωρὶς λουτρῶν ἀλείφεσθαι.—μήποτε καὶ τὸ ὑπὸ τῶν ἀλειπτῶν λεγόμενον ξηροτρίβεσθαι οὕτως ἔλεγον. Σοφ. Πηλεῖ·

Καὶ ξηραλοιφῶν εἵματος διὰ πτυχῶν.

Harpocration.

ΞΥΜΒΟΛΟΥΣ, τοὺς διὰ τῶν πταρμῶν οἰωνισμοὺς ἔλεγον. ἀνετίθεντο δὲ οὗτοι Δήμητρι. τινὲς δὲ, τὰς διὰ τῆς φήμης γινομένας μαντείας, ἃς Φιλόχορός φησι Δήμητρα εὑρεῖν. Σοφ. Ἀχαιῶν συλλόγῳ. *Hesych.*

ΞΥΝΕΡΞΕΤΕ, ἀποκλείσετε. Σοφ. *Suidas* ex Aj. 593.

ΟΔΟΣ: Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους φησὶν, Ἢ ἐν ὁδῷ καθελών. ἀντὶ τοῦ ἐν λόχῳ καὶ ἐνέδρᾳ. τοιοῦτον δὲ εἶναι καὶ τὸ Ὁμηρικόν φασι, (Ἰλ. α'. 151:) Ἢ ὁδὸν ἐλθέμεναι. εἰ δὲ ψιλωθείη ἡ προτέρα, σημαίνει τὸν βαθμὸν, ὡς παρὰ Λυσίᾳ ἐν τῷ κατὰ Φιλίππου, εἰ γνήσιος ὁ λόγος. —Ἢ ἐν ὁδῷ καθελὼν, ἀντὶ τοῦ, ἐνεδρεύοντα ἑλὼν, τουτέστιν ἔν τινι ἐνέδρᾳ καταβαλών—Καθελών. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους φησὶν, Ἢ ἐν ὁδῷ καθελὼν, ἀντὶ τοῦ ἀνελὼν ἢ ἀποκτείνας. ἐχρήσαντο δὲ οὕτω τῷ ὀνόματι καὶ ἄλλοι, ὡς καὶ Στησίχορος ἐν Ἰλίου Πέρσει καὶ Σοφοκλῆς ἐν Εὐμήλῳ. *Harpocrationis* tres istæ glossæ sic conjungendæ erant, ut intelligeretur quænam esset χρῆσις quam ille Sophoclis auctoritate firmarit, nempe nominis ὀδὸς, adhibiti pro λόχος vel ἐνέδρα. Tenuàti ὀδὸς significantis βαθμὸν usum e Sophocle etiam confirmare poterat, apud quem hoc sensu occurrit in Œd. Col. 57. 1590.

ΟΔΟΣ, οὐδός. Σοφ. *Suidas* ex Œd. Col. 1590.

ΟΙΑΤΑΝ, κωμήτην. οἶαι γὰρ αἱ κῶμαι. *Hesych.* ΟΙΗΤΑΣ, τοὺς κωμήτας. Σοφ. Ἀνδρομέδᾳ. *Photii Lex. MS.*

ΟΙΑΤΙΔΟΣ ΕΚ ΝΟΜΟΥ. Σοφ. Οἰδίποδι ἐπὶ Κολωνῷ. (1061.) τῆς προβατευομένης ἐκ νεμήσεως· οἱ δὲ, ἀπὸ τοῦ δήμου. κακῶς, οὐ γὰρ ἐγγὺς κεῖται. *Hesych.* Ἀπὸ δὲ τῶν οἰῶν, καὶ οἰάτιδος νομοῦ μέμνηταί τις παλαιὸς, τοῦ ἀπὸ προβάτων κατανεμομένου. *Eustath.* p. 1165.

ΟΚΡΙΑΖΩΝ, τραχυνόμενος. Σοφ. *Photii Lex. MS.*

ΟΛΕΘΡΙΟΝ. μέχρι θανάτου. Σοφ. Ὀλέθριον αἰκίζει. *Suidas* ex. Aj. 402.

ΟΛΚΙΑ Σοφοκλῆς τὰ πηδάλια ἐν Ναυπλίῳ ὀνόμασι. *Poll.* x. 134.

ΟΛΟΣΠΑΔΕΣ, ὅλαι κατατετυνόμεναι καὶ κατασπώμεναι. Σοφ. *Photii Lex. MS.*

Τὰς δὲ ταινίας, ΟΛΟΣΤΗΜΟΝΟΥΣ ΤΟΛΥΠΑΣ Σοφοκλῆς ὠνόμασεν. *Pollux* vii. 32.

ΟΜΜΑΤΕΙΟΣ ΠΟΘΟΣ. διὰ τὸ ἐκ τοῦ ὁρᾷν ἁλίσκεσθαι ἔρωτι. Ἐκ τοῦ γὰρ εἰσορᾷν γίγνετ' ἀνθρώποις ἐρᾷν. καὶ Σοφ. ἐν Ἀχιλλέως Ἐρασταῖς ΟΜΜΑΤΑ ΠΛΑΤΥΛΟΓΧΑ φησίν. *Hesych.* a Jo. Toup. emendatus Epist. Crit. p. 133.

ΟΜΟΓΝΙΟΙ ΘΕΟΙ, οὓς οἱ συγγενεῖς κοινῶς ὀργιάζουσιν. *Photii Lex MS.* Pertinet ad Œd. Col. 1333.

ΟΜΟΥ. Vide ad Antig. 1180.

ΟΜΠΝΙΟΝ ΝΕΦΟΣ, μέγα, πολύ, ηὐξημένον. Σοφ. Θησεῖ. *Suidas* et *Photius* in *Lex. MS.* ubi Ὄμπνιον.

ΟΝΑΙΑΤΟ, ἀπολαύσαιμι. Σοφ. *Suidas* ex El. 211.

ΟΠΙΣΑΜΒΟΝ. ταύτην Χρύσιππος τάττει κατὰ τῶν χεῖρον ἐν τοῖς πράγμασι προβαινόντων, παρὰ τὸ ἀεὶ ὀπίσω βαίνειν. μέμνηται δὲ τοῦ ὀνόματος Σοφοκλῆς. *Appendix Vatic. Proverb.* iii. 36. Ἐν δὲ τῷ κατὰ στοιχεῖον λεξικῷ καὶ ΟΠΙΣΑΜΒΩ εὕρηται, ἡ εἰς τοὐπίσω ἀναχώρησις. *Eustath.* p. 862.

ΟΡΓΑΣΑΙ, τὸ πηλοποιῆσαί ἐστι, καὶ ὑγρῷ ξηρὸν μίξαι. Σοφ. Θέλοιμι πηλὸν ὀργάσαι. *Etymol. M.* in Ὀργάδα γῆν. Confer Hesychium in Ὀργάσαι. Comicus Av. 839. Πηλὸν ἀποδὺς ὄργασον.

ΟΡΓΑΣΜΟΣ, μαλαγμός. μέμνηται τῆς λέξεως καὶ Σοφοκλῆς ἐν Πανδώρᾳ λέγων·

Καὶ πρῶτον ἀργὸν πηλὸν ὀργάζειν χεροῖν.

καὶ Ἀττικοὶ δὲ ἰδίως λέγουσιν ὀργάσαι, καὶ τὰ ὑγρὰ τοῖς ξηροῖς μίξαι καὶ ἀναφυρᾶσαι, καὶ οἷον πηλὸν ποιεῖν. E scholiis MS. in Hippocratem. Vide Timæi Lexicon Platon. p. 129.

ΟΡΘΟΚΕΡΩΣ. ὀρθόθριξ. Σοφ. *Photii Lex. MS.* Κέρας ἡ κόμη. ὃ καὶ Ὅμηρον δηλοῦν τινες ἔφασαν, εἰπόντα τὸν Πάριν, Κέρ' ἀγλαέ. (Ἰλ. λ'. 385.) ὅθεν καὶ παρὰ Σοφοκλεῖ, Ὀρθόκερως φρίκη, οἷον ὀρθόθριξ. *Poll.* ii. 31.

ΟΡΘΟΠΤΕΡΟΝ. Σοφ. Αἰθίοψιν. ὀρθοὺς ἔχοντα κολωνούς. τὰ γὰρ εἰς ὕψος ἀνέχοντα, πτερὰ ἔλεγον, καὶ τὰ περιστόα. *Photii Lex. MS.* Vide Hesychium in Ὀρθόπτερος.

ΟΡΘΟΦΡΩΝ, ἀναπεπταμένος καὶ μετέωρος ταῖς φρεσίν. οὕτως Σοφοκλῆς. *Photii Lex. MS.*

ΟΡΜΕΝΟΣ, ὁ τῆς κράμβης ἀσφάραγος παρὰ Ἀττικοῖς, διὰ τὸ ἐξορούειν καὶ βλαστάνειν, ἤγουν ὁ ἀπὸ τῆς κράμβης ἐξηνθηκώς. ὅθεν καὶ ΕΞΟΡΜΕΝΙΖΩ ῥῆμα. Σοφ.

Κἀξορμενίζει, κοὐκ ἐπισχολάζεται
βλάστη.

τουτέστιν οὐ σχολὴν ἡ βλάστη ἔχει, ἀλλὰ δηλονότι ὁρμᾷ εἰς αὔξην κατὰ τὰ ἐξορμενίζοντα φυτά. *Eustathius* p. 899. *Athenæus* p. 62.

ΟΥΔΕΝ ΕΡΓΟΝ, οὐδὲν ὄφελος. Σοφ. *Suidas* in Ἔργον εἰπεῖν. ex Aj. 852.

ΟΥΚ ΕΚΦΡΩΣΙΝ, οὐκ ἐξαφῶσιν. Σοφ. *Photii Lex. MS.* Vide Comicum Vesp. 156.

ΟΥ ΚΩΦΙΖΕΙ, οὐ βλάπτει. Σοφ. ἐν Ἐπὶ Ταινάρῳ Σατ. *Ibid.* ubi male scriptum οὐκ ὄφιζει. Vide Hesychii interpretes ad glossam Οὐ κωφεῖ.

ΟΥΡΑΝΙΑ ΑΧΝΗ, ἡ δρόσος. *Suidas* ex Œdipo Col. 681.

ΟΥΡΑΝΙΟΝ ΑΧΟΣ, τὸν κονιορτόν. Σοφ. *Photii Lex. MS.* ex Antig. 418.

ΟΥΡΙΣΑΙ, ἀποκαταστῆσαι εἰς οὖρον. *Idem.* Pertinet hæc glossa ad Œd. T. 696. Nomen Σοφοκλῆς, quod subjici debebat, librarii errore in fine præcedentis glossæ positum fuit, οὐρὰν, αἰδοῖον. Σοφ.

ΟΦΕΛΜΑ, αὔξημα. Σοφ. *Idem.*

ΟΧΟΣ ΑΚΕΣΣΑΙΟΣ. οἶνον αἱ Σικελικαὶ ἡμῖναι εἶναι σπονδαῖαι. ἡ γὰρ Ἄκεστα, Σικελικὴ πόλις. Σοφ. Ὑδροφόροις. *Idem.*

ΠΑΘΑΙ. αἱ συμφοραί.—πάθας θηλυκῶς, πάθη, ξυμφοράς. Σοφ. *Suidas* Œd. Col. 7. Aj. 295.

ΠΑΛΙΝΣΚΙΟΝ, ζοφερόν. Σοφ. Ἰνάχῳ.

Χειμῶνι σὺν παλινσκίῳ.

Harpocrat.

ΠΑΠΠΟΣ, ἀκάνθης ἄνθημα. ἐπὰν γηράσῃ καὶ ἀποξηρανθῇ, καὶ ὑπὸ ἀνέμων περιπίζεται, καὶ τόπον ἐκ τόπου μεταβάλλει. *Hesych.* Pertinet ad Sophoclis senarium, quem servavit *Plutarchus* Moral. p 1100.

Γραίας ἀκάνθης πάππος ὣς φυσώμενος.

Lanugo velut afflata veteris cardui.

ΠΑΡΑΚΡΟΥΕΤΑΙ, ἀντὶ τοῦ ἐξαπατᾷ—μετῆκται δὲ τοὔνομα ἀπὸ τῶν τοὺς ἱστάντας τι, ἢ μετροῦντας κρούειν τὰ μέτρα, καὶ διασείειν ἵνεκα τοῦ πλεονεκτεῖν. καὶ Σοφοκλῆς που·

Ὡς μήτε κρούσῃς, μήθ' ὑπὸ χεῖρα βάλῃς.

Harpocration, quem falso citasse suspicor. Pentameter hic elegiacus Theognidis potius quam Sophoclis esse videtur.

ΠΑΡΑΡΥΜΑ ΠΟΔΟΣ. Σοφ. Πολυξένῃ. ὡς κρεμαμένων τινῶν ὑφασμάτων ἐκ τοῦ εἵματος πρὸς κάλλος. τινὲς δὲ, σχοινίον ἐν ταῖς ναυσίν· οἱ δὲ, ὑπόδημα. *Hesych.*

ΠΑΡΑΣΑΓΓΑΙ, τὰ τριάκοντα στάδια παρὰ Πέρσαις· παρ' Αἰγυπτίοις δὲ, ἑξήκοντα. παρὰ δὲ, Σοφοκλεῖ ἐν Ἀνδρομάχῃ ἐπὶ τοῦ ἀγγέλου εἴρηται. *Etymol. M.*

ΠΑΡΕΣΤΙΝ, ἐκ παντὸς δυνατόν ἐστιν. *Photii Lex. MS.* Pertinet ad Œd. T. 766.

ΠΑΡΟΥΣΙΑ. λέγεται οὕτως ἐπὶ τῆς τῶν παρόντων δαψιλείας—καὶ ἐπὶ τοῦ παρεῖναι, ὡς καὶ ἐν τοῖς Νίπτροις Σοφοκλέους·

τὴν παρουσίαν

τῶν ἐγγὺς ὄντων.

Photii Lex. MS. et *Suidas.*

ΠΑΤΡΟΚΤΟΝΟΣ. Σοφ. ὁ γὰρ πατροφόντης, καὶ μητροφόντης, ποιητικόν. *Pollux* iii. 13.

ΠΕΛΟΝ, ὑπόφαιον. ἀγνοοῦντες δέ τινες γράφουσι πέλιον. ὡς καὶ Σοφ. ἐν Ποιμέσι, καὶ ἐν Ἀμφιαράῳ φησί·

Κυνὸς, πελλῆς τε μηκάδος ῥινὸν βοός.

Erotiani Lex. Hippocrat.

ΠΕΜΦΙΞ. νυνὶ δὲ ἀρκέσει τοῖς γραμματικοῖς ἀκολουθήσαντα, κατὰ τὴν ἐκείνων διάταξιν εἰπεῖν τι περὶ τῶν κατὰ τὴν πέμφιγα σημαινομένων. δοκεῖ μὲν γὰρ αὐτὴν ἐπὶ τῆς πνοῆς Σοφοκλῆς ἐν Κόλχοις λέγειν·

Ἀπῆξε πέμφιξ Ἰονίου πέλας πόρου.

καὶ ὁ αὐτὸς ἐν Σαλμωνεῖ Σατυρικῷ·

Καὶ τάχ' ἂν Κεραύνια

πέμφιξι βροντῆς καὶ δυσοσμίας βάλοι.

ἐπὶ δὲ τῶν ἀκτίνων αὐτῶν δοκεῖ χρῆσθαι τῷ τῆς πέμφιγος ὀνόματι Σοφοκλῆς ἐν Κόλχοις κατὰ τάδε τὰ ἔπη·

Κἀπιθαύμασα

τηλέσκοπον πέμφιγα χρυσέαν ἰδών.

ἐπὶ δὲ τοῦ νέφους δοκεῖ τετάχθαι κατὰ τόδε τὸ ἔπος ἐν Σαλμωνεῖ Σατυρικῷ παρὰ Σοφοκλεῖ·

Πέμφιγι πᾶσαν ὄψιν ἀγγέλῳ πυρός.

Galenus Comment. i. ad Hippocratis περὶ τῶν ἐπιδημίων vi. p. 454. edit. Basil. emendatus a Bentleio Epist. ad Millium p. 57.

ΠΕΝΘΕΡΟΣ, τῷ νυμφίῳ ὁ τῆς κόρης πατήρ. Σοφοκλῆς δὲ τὸ ἔμπαλιν. εἶπε γὰρ πενθερὸν, τὸν γαμβρὸν ἐν Ἰφιγενείᾳ. Ὀδυσσεύς φησι πρὸς Κλυταιμνήστραν περὶ Ἀχιλλέως·

Σὺ δ᾽ ὦ μεγίστων τυγχάνουσα πενθερῶν.

ἀντὶ τοῦ γαμβρῶν. *Suidas*. Γαμβρὸν δὲ, τὸν νυμφίον, ἢ τὸν κατ᾽ ἐπιγαμίαν οἰκεῖον. ἐναλλάσσεται δὲ τὸ ὄνομα πολλάκις. Σοφοκλῆς δὲ τὸν πενθερὸν ἀντὶ τοῦ γαμβροῦ λέγει. *Etymol. M.* in Γάμος. Vide not. ad Œd. T. 70.

ΠΕΣΣΑ ΠΕΝΤΕΓΡΑΜΜΑ ΚΑΙ ΚΥΒΩΝ ΒΟΛΑΣ. Σοφ. Ναυπλίῳ Πυρκαεῖ. (fragm. vi.) παρ᾽ ὅσον πέντε γραμμαῖς ἔπαιζον. διαφέρει δὲ πεττεία κυβείας. ἐν ᾗ μὲν γὰρ τοὺς κύβους ἀναῤῥίπτουσιν· ἐν δὲ τῇ πεττείᾳ αὐτὸ μόνον τὰς ψήφους μετακινοῦσι. *Hesych. Poll.* ix. 97. *Eustathius* p. 1397. Πεττεία, ἢ πεσσεία, ὡς Σοφοκλῆς. *Poll.* vii. 203.

ΠΗΛΟΣ. κάπηλος, ὁ μεταβολεὺς, καὶ οἰνοπώλης. παρὰ τὸ χέειν τὸν πηλὸν, ἤγουν τὸν οἶνον. τινὲς οἴονται ἓν ἀνθ᾽ ἑνὸς εἶναι, πηλὸν καὶ οἶνον, ἐκ τοῦ παρὰ Σοφοκλεῖ·

Πολὺς δὴ πηλὸς ἐκ πίθων τυρβάζεται.

ὁ μὲν οὖν Σοφοκλῆς εὐπτέφορος εἰς τὸν πηλόν. *Etymol. M.* Vide Gatakerum, Operum tom. i. p. 446. et Toupium ad Suidam ii. 66. Inde inter fragmenta Sophoclis retulit Heathius hæc verba εὐπτέφορος ἐς τὸν πηλὸν, quæ Sophoclis non sunt, sed grammatici significantis usum vocis πηλὸς Sophocli adamatum fuisse et frequentatum, ut quum ad Aj. 613. Scholiastes ait: εὐπτέφορος δὲ ὁ ποιητὴς ἐπὶ τὰς τοιαύτας μελοποιΐας. et ad Antig. 897. εὐπτέφορος Σοφοκλῆς εἰς τὸ ΤΡΕΦΩ ἀντὶ τοῦ ΕΧΩ λέγειν. Non animadvertit mancam et mutilam esse Suidæ notam, quæ ex Etymologo suppleri debet.

ΠΟΡΣΥΝΕΤΑΙ, ὁδεύεται. ἀπὸ τοῦ πόρου. Σοφ. *Photii Lex. MS.* Pertinet ad Phil. 781.

ΠΡΟΝΟΥΣΤΕΡΟΣ, ἀντὶ τοῦ προνοητικώτερος. Σοφ. Αἴαντι μαστιγοφόρῳ (119.) *Lex. MS. Sangerm.* Προνούστερος, προμηθέστερος, προνοητικώτερος. *Suidas*. Male in Photii Lexico scriptum προυνουστέρως, ἀντὶ τοῦ προνοητικωτέρως. Σοφ.

ΠΡΟΣΤΑΤΗΡΙΟΣ Ἀπόλλων. ἐπεὶ πρὸ τῶν θυρῶν αὐτὸν ἱδρύοντο. Σοφ. *Photii Lex. MS.* Pertinet ad El. 637.

ΠΡΟΣΤΑΤΟΥ. (Σοφ. Οἰδίποδι Τυρ. 411.)

Ὥστ᾽ οὐ Κρέοντος προστάτου γεγράψομαι.

ἀπὸ τοῦ Ἀθήνησι νομίμου ἀνάγει εἰς τοὺς ἥρωας. ἔνεμον γὰρ προστάτην οἱ μέτοικοι· καὶ οἱ μὴ ἀπογραφόμενοι τοῦτον, ἀπροστασίου δίκην ὦφλον. *Hesych.*

ΠΡΟΣΧΗΜΑ. καὶ ἡ πρόφασις, καὶ τὸ οἱονεὶ προκάλυμμα· ἔτι δὲ καὶ τὸ καλλώπισμα. Σοφ. ἐν Ἠλέκτρᾳ. (525. 682.) *Thomas Mag.*

ΠΤΕΡΥΓΕΣ, τὰ πηδάλια. Σοφ. *Photii Lex. MS.*

Τὸ ΠΤΥΟΝ, καὶ πτίον ἔλεγον οἱ Ἀττικοὶ ὕστερον, ὡς Αἴλιος Διονύσιός φησι· πτύον δὲ Σοφοκλῆς, ἀκολουθῶν δηλαδὴ τῷ ποιητῇ. *Eustath.* p. 948.

ΠΥΓΑΡΓΟΣ, εἶδος ἀετοῦ. Σοφοκλῆς ἐπὶ τοῦ δειλοῦ, ἀπὸ τῆς λευκῆς πυγῆς, ὥσπερ ἐναντίως μελαμπύγης ἀπὸ τῆς ἰσχυρᾶς. *Etymol. M.*

ΠΥΝΔΑΞ. Vide in ΑΠΥΝΔΑΚΩΤΟΣ.

ΡΑΙΚΟΥΣ. οἱ βάρβαροι τοὺς Ἕλληνας. Σοφοκλῆς τῇ λέξει κέχρηται. *Photii Lex. MS.* At juxta Eustath. ad Ἰλ. μ΄. p. 890. Sophocles voce Γραικοὶ usus est: ΓΡΑΙΚΟΥΣ, ἡ μὲν συνήθεια καὶ Σοφοκλῆς δέ που κατὰ τοὺς παλαιοὺς, καὶ ὁ Λυκόφρων δὲ διὰ τοῦ ἐν ἀρχῇ γ προφέρουσιν ἐπὶ Ἑλλήνων. οἱ βάρβαροι δὲ Ῥαικοὺς φασι δίχα τοῦ γ, ὡς ἐν παλαιῷ εὕρηται ῥητορικῷ λεξικῷ.

ΡΑΚΤΗΡΙΟΙΣ ΚΕΝΤΡΟΙΣΙΝ. ἀντὶ τοῦ ταῖς κώπαις, διὰ τὸ ἀράττεσθαι. καὶ ἐν Φιλοκτήτῃ τῷ ἐν Τροίᾳ·

Μέλη βοῶν ἄναυδα καὶ ῥακτήρια.

ἀντὶ τοῦ ψοφώδη καὶ θορυβώδη. *Hesych.*

Πᾶς ὁ πετρώδης αἰγιαλὸς, ῥαχίας καλεῖται. καὶ γῆ δέ τις ἐν τοῖς μετάλλοις οὕτω καλουμένη. παρὰ τῷ Σοφοκλεῖ ΡΑΧΙΑ λέγεται ἡ τοῦ ὄρους, *Etymol. M.* in Ῥάχις.

ΡΑΧΟΙ, αἱ μυρίκιναι ῥάβδοι·

Ῥάχοισιν ὀρκάδες σίγης.

Σοφοκλῆς δὲ, τοὺς φραγμοὺς ποίμνης. Ῥάχους, τὰς ἀκανθώδεις καὶ τραχείας ῥάβδους λέγουσι. *Photii Lex. MS.*

ΡΑΨΩΔΟΣ ΚΥΩΝ, ἡ Σφίγξ. οὕτως Σοφ. *Idem.* Pertinet ad Œd. T. 391.

ΡΕΙΤΑ. ἐν Ἐλευσῖνι δύο ναμάτια φερόμενα ἐκ μιᾶς πηγῆς, καλούμενα Ῥειτά. οὕτως Σοφ. Ῥειτῶν, τόπος ἱερῶν ῥευμάτων. *Idem.*

ΡΗΤΩΡ, συνήγορος, δικολόγος. καὶ ὁ τὴν ἰδίαν ἀποφαίνων γνώμην κριτὴς παρὰ Σοφοκλεῖ. *Photii Lex. MS.* et *Suidas.*

ΡΙΚΝΟΣ, ὁ πιφρικὼς παρὰ Σοφοκλεῖ. ΡΙΚΝΟΥΣΘΑΙ, τὸ διέλκεσθαι, καὶ παντοδαπῶς διαστρέφεσθαι κατ' εἶδος. λέγεται δὲ καὶ ῥικνοῦσθαι, τὸ καμπύλον γίγνεσθαι, ἀσχημόνως καὶ κατὰ συνουσίαν καὶ ὄρχησιν κάμπτοντα τὴν ὀσφύν. Σοφ. Ἰχνευταῖς. *Photii Lex. MS.*

ΡΥΤΗΡΕΣ, χαλινοὶ, ἱμάντες, ἡνίαι. Ῥυτῆρι κρούων γλουτὸν ὑπτίου ποδός. Σοφ. *Idem.* Confer Hesych. in Ῥυτῆρι κρούων. Sophoclis versus sic scribendi.

Καὶ μὴν ὑβρίζων αὐτίκ' ἐκ βάθρων σ' ἐλῶ
ῥυτῆρι κρούων γλουτὸν ὑπτίου ποδός.

ἐλῶ futurum est Atticum pro ἐλάσω.

ΣΑΓΜΑ, ἡ θήκη τοῦ ὅπλου· σάγη δὲ, τὸ ὅπλον. Σοφ.

Κάλλιστα τεύχη δ' ἐν καλοῖσι σάγμασι.

Suidas. Σάκος, ἀσπίς. ἀφ' οὗ καὶ οἱ νεώτεροι ΣΑΓΗΝ, τὴν ὅλην πανοπλίαν λέγουσιν, ὡς Σοφοκλῆς. *Apollonii Lex. Homericum.*

ΣΑΚΟΔΕΡΜΙΤΗΣ. Σοφ. Τρωΐλῳ. οἱ μὲν τὸν ὄφιν· οἱ δὲ σκώληκα τὰ δέρματα διεσθίοντα. ἄμεινον δὲ τὸν ἐπὶ τῷ δέρματι χαλκὸν ἔχοντα, παρ' ὅσον τὰ σάκη ἐπίχαλκα. *Photius* et *Lex. MS. Sangerm.* Confer Hesychium in Σακοδερμιστής.

